Ael. *V.H.* 10. 18 Δάφνιν τὸν βουκόλον λέγουσιν οἱ μὲν ἐρώμενον Ἑρμοῦ, ἄλλοι δὲ υἱόν· τὸ δὲ ὄνομα ἐκ τοῦ συμβάντος σχεῖν. γενέσθαι μὲν αὐτὸν ἐκ Νύμφης, τεχθέντα δὲ ἐκτεθῆναι ἐν δάφνῃ. τὰς δ' ὑπ' αὐτοῦ βουκολουμένας βοῦς φασιν ἀδελφὰς γεγονέναι τῶν Ἡλίου, ὧν Ὅμηρος ἐν 'Οδυσσείᾳ μέμνηται. βουκολῶν δὲ κατὰ τὴν Σικελίαν ὁ Δάφνις, ἠράσθη αὐτοῦ Νύμφη μία, καὶ ὡμίλησε καλῷ ὄντι καὶ νέῳ καὶ πρῶτον ὑπηνήτῃ, ἔνθα τοῦ χρόνου ἡ χαριεστάτη ἐστὶν ἥβη τῶν καλῶν μειρακίων, ὥς που φησι καὶ Ὅμηρος. συνθήκας δὲ ἐποίησε μηδεμιᾷ ἄλλῃ πλησιάσαι αὐτόν, καὶ ἐπηπείλησεν ὅτι πεπρωμένον ἐστὶν αὐτὸν στερηθῆναι τῆς ὄψεως, ἐὰν παραβῇ· καὶ εἶχον ὑπὲρ τούτων ῥήτραν πρὸς ἀλλήλους. χρόνῳ δὲ ὕστερον βασιλέως θυγατρὸς ἐρασθείσης αὐτοῦ οἰνωθεὶς ἔλυσε τὴν ὁμολογίαν, καὶ ἐπλησίασε τῇ κόρῃ. ἐκ δὲ τούτου τὰ βουκολικὰ μέλη πρῶτον ᾄσθη, καὶ εἶχεν ὑπόθεσιν τὸ πάθος τὸ κατὰ τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ Στησίχορόν γε τὸν Ἰμεραῖον τῆς τοιαύτης μελοποιΐας ὑπάρξασθαι.

Diod. Sic. 4 84 νυνὶ δὲ περὶ Δάφνιδος πειρασόμεθα διελθεῖν τὰ μυθολογούμενα. Ἡραῖα γὰρ ὕρη κατὰ τὴν Σικελίαν ἐστίν, ἃ φασι κάλλει τε καὶ φύσει καὶ τόπων ἰδιότησι πρὸς θερινὴν ἄνεσιν καὶ ἀπόλαυσιν εὖ πεφυκέναι. πολλάς τε γὰρ πηγὰς ἔχειν τῇ γλυκύτητι τῶν ὑδάτων διαφόρους καὶ δένδρεσι παντοίοις πεπληρῶσθαι. εἶναι δὲ καὶ δρυῶν μεγάλων πλῆθος, φερουσῶν καρπὸν τῷ μεγέθει διαλλάτ-

[1] mss σαρπηδ.

---

[1] *i. e.* the edible oak

9

Pausanias *Description of Greece* [on Arcadia]: Now Pallantium is mentioned by Stesichorus of Himera in the *Tale of Geryon.*

10

Scholiast on Apollonius of Rhodes *Argonautica*: . . . But Stesichorus says in the *Tale of Geryon* that there is an island called

Sarpedonia

in the Atlantic Sea.

---

11 Daphnis

Aelian *Historical Miscellanies*: Daphnis the Neatherd according to some authorities was the belovèd, and according to others the son, of Hermes, and is said to have received this name from the circumstance that his mother, who was a Nymph, exposed him under a *daphnè* or bay-tree. The cows which he tended were sisters of the cattle of the Sun, of which Homer tells in the *Odyssey.* And while he watched them in Sicily, one of the Nymphs fell in love with him and had him for her mate, as well she might, seeing that he was both a handsome lad and then 'making the first hair to his lip,' which, as Homer says, 'is the fairest season of youth' in a person with good looks. And more, she made a covenant with him that he would have to do with no other woman, threatening him with the certain loss of his sight if he should break his word. So it was agreed; but some time after, a king's daughter falling in love with him, he broke the covenant when he was overcome with wine, and lay with her. From this story arose the Bucolic songs or lays of herdsmen, having for their theme the blinding of Daphnis. The first composer of such songs was Stesichorus of Himera.

Diodorus of Sicily *Historical Library*: We will now try to narrate the myth of Daphnis. It seems there are certain highlands in Sicily called the Heraean Hills, which for their beauty, character, and physical peculiarities are said to be excellently suited for a summer holiday. The district possesses an abundance of springs remarkable for the sweetness of their water, and is full of trees of every sort, among them a multitude of great oaks[1] which bear fruit of unusual

τοντα, διπλασιάζοντα τῶν ἐν ταῖς ἄλλαις χώραις φυομένων. ἔχειν δὲ καὶ τῶν ἡμέρων καρπῶν αὐτομάτων, ἀμπέλου τε πολλῆς φυομένης καὶ μήλων ἀμυθήτου πλήθους. διὸ καὶ στρατόπεδόν ποτε Καρχηδονίων ὑπὸ λιμοῦ πιεζόμενον διαθρέψαι, παρερχομένων τῶν ὁρῶν πολλαῖς μυριάσι χορηγίας εἰς τροφὴν ἀνέκλειπτον. ἐν ταύτῃ δὲ τῇ χώρᾳ συναγκείας δένδρων οὔσης θεοπρεποῦς καὶ Νύμφαις ἄλσους ἀνειμένου μυθολογοῦσι γεννηθῆναι τὸν ὀνομαζόμενον Δάφνιν, Ἑρμοῦ μὲν καὶ Νύμφης υἱόν, ἀπὸ δὲ τοῦ πλήθους καὶ τῆς πυκνότητος τῆς φυομένης δάφνης ὠνομάσθαι Δάφνιν. τοῦτον δ' ὑπὸ Νυμφῶν τραφέντα, καὶ βοῶν ἀγέλας παμπληθεῖς κεκτημένον, τούτων ποιεῖσθαι πολλὴν ἐπιμέλειαν· ἀφ' ἧς αἰτίας βουκόλον αὐτὸν ὀνομασθῆναι. φύσει δὲ διαφόρῳ πρὸς εὐμέλειαν κεχορηγημένον ἐξευρεῖν τὸ βουκολικὸν ποίημα καὶ μέλος, ὃ μέχρι τοῦ νῦν κατὰ τὴν Σικελίαν τυγχάνει διαμένον ἐν ἀποδοχῇ. μυθολογοῦσι δὲ τὸν Δάφνιν μετὰ τῆς Ἀρτέμιδος κυνηγεῖν ὑπηρετοῦντα τῇ θεᾷ κεχαρισμένος, καὶ διὰ τῆς σύριγγος καὶ βουκολικῆς μελῳδίας τέρπειν αὐτὴν διαφερόντως. λέγουσι δ' αὐτοῦ μίαν τῶν Νυμφῶν ἐρασθεῖσαν προειπεῖν, ἐὰν ἄλλῃ τινι πλησιάσῃ, στερήσεσθαι τῆς ὁράσεως· κἀκεῖνον ὑπό τινος θυγατρὸς βασιλέως καταμεθυσθέντα καὶ πλησιάσαντα αὐτῇ, στερηθῆναι τῆς ὁράσεως κατὰ τὴν γεγενημένην ὑπὸ τῆς Νύμφης πρόρρησιν.

12–17 Ἑλένα

Isocr. *Hel.* 64 ἐνεδείξατο δὲ (ἡ Ἑλένη) καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν ἑαυτῆς δυνάμιν· ὅτε μὲν γὰρ ἀρχόμενος τῆς <Ἑλένης> ᾠδῆς ἐβλασφήμησέ τι περὶ αὐτῆς, ἀνέστη τῶν ὀφθαλμῶν ἐστερημένος, ἐπειδὴ δὲ γνοὺς τὴν αἰτίαν τῆς συμφορᾶς τὴν καλουμένην Παλινῳδίαν ἐποίησε, πάλιν αὐτὸν εἰς τὴν αὐτὴν φύσιν κατέστησεν.

Sch. Eur. *Or.* 249 [ἐπίσημον ἔτεκε Τυνδάρεως ἐς τὸν ψόγον | γένος θυγατέρων δυσκλεές τ' ἀν' Ἑλλάδα]· Στησίχορός φησιν ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο· διὸ ὀργισθεῖσαν τὴν θεὸν διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ποιῆσαι.[1] ἔχει δὲ ἡ χρῆσις οὕτως·

[1] mss ἐποίησεν

size, indeed twice as large as is found in other parts. Here too some of the fruits of cultivation grow of themselves, vines in profusion and apples in an incredible plenty. Indeed a Carthaginian army once lived on this country when they had otherwise starved to death, these highlands coming to their aid with a limitless and inexhaustible supply of food. In this country, at a spot divinely fair where two tree-clad valleys meet in a grove sacred to the Nymphs, the story goes that the child afterwards called Daphnis was born the son of Hermes and a Nymph, and received his name from the abundance and density of the bay-trees that grew there. Brought up by the Nymphs, this Daphnis came to be master of immense herds of cattle, which were his incessant care ; whence his name of Neatherd. And being endowed with a great gift for melody, he invented the Bucolic or Pastoral poetry and music which remain in favour in Sicily to this day. It is further said that Daphnis attended Artemis on her hunting with much pleasure to the Goddess, delighting her with his pipe and his pastoral melodies. And we are told that one of the Nymphs, who fell in love with him, warned him that if he had to do with any other woman he would lose his sight, and that being made drunk and led astray by some princess, he lost it as the Nymph had foretold.[1]

12–17 Helen

Isocrates *Helen* : Moreover Helen displayed her power to the poet Stesichorus. Having found some fault with her at the beginning of his poem the *Helen*, he went away [from the performance] blind, and then when, realising the cause of his misfortune, he composed what is called the *Palinode* or Recantation, she restored him his sight.

Scholiast on Euripides *Orestes* ['Conspicuous for blame were all the daughters begotten of Tyndareüs, and of ill-repute throughout all Greece']: According to Stesichorus, when Tyndareüs was sacrificing to the Gods he forgot Aphrodite, and for this the Goddess made his daughters twice-wed, thrice-wed, and husband-forsakers. The passage runs thus :

[1] cf. Vürtheim p. 73, and Reitz. *Epig. u. Skol.* p. 262

οὕνεκα Τυνδάρεος [1]
ῥέζων ποτὲ πᾶσι θεοῖς μούνας λάθετ' ἠπιοδώρω
Κύπριδος· [2] κείνα δὲ Τυνδαρέω κόρας [3]
χολωσαμένα διγάμους τε καὶ τριγάμους τίθησι
καὶ λιπεσάνορας.

13

Paus. 2. 22. 6 [π. Ἀργεος]· πλησίον δὲ τῶν Ἀνάκων, Εἰλειθυίας ἐστὶν ἱερόν, ἀνάθημα Ἑλένης ὅτε σὺν Πειρίθῳ Θησέως ἀπελθόντος εἰς Θεσπρώτους Ἀφιδνά τε ὑπὸ Διοσκούρων ἑάλω καὶ ἤγετο εἰς Λακεδαίμονα Ἑλένη· ἔχειν μὲν γὰρ αὐτὴν λέγουσιν ἐν γαστρί, τεκοῦσαν δὲ ἐν Ἄργει καὶ τῆς Εἰλειθυίας ἱδρυσαμένην τὸ ἱερόν, τὴν μὲν παῖδα ἣν ἔτεκε Κλυταιμνήστρᾳ δοῦναι, συνοικεῖν μὲν γὰρ ἤδη Κλυταιμνήστραν Ἀγαμέμνονι· αὐτὴν δὲ ὕστερον τούτων Μενελάῳ γήμασθαι. καὶ ἐπὶ τῷδε Εὐφορίων Χαλκιδεὺς καὶ Πλευρώνιος Ἀλέξανδρος ἔπη ποιήσαντες, πρότερον δὲ ἔτι Στησίχορος ὁ Ἱμεραῖος, κατὰ ταὐτά φασιν Ἀργείοις Θησέως εἶναι θυγατέρα Ἰφιγένειαν.

14

Sch. Il. 2. 339 [πῇ δὴ συνθεσίας τε καὶ ὅρκια βήσεται ἡμῖν;]· τῶν ἐκ τῆς Ἑλλάδος ἀρίστων ἐπὶ μνηστείαν τῆς Ἑλένης πάροντων διὰ τὸ γένος καὶ τὸ κάλλος, Τυνδάρεως ὁ πατὴρ αὐτῆς, ὥς τινές φασι, φυλασσόμενος μή ποτε ἕνα αὐτῶν προκρίνας τοὺς ἄλλους ἐχθροὺς ποιήσηται, κοινὸν αὐτῶν ἔλαβον ὅρκον ἢ μὴν τῷ ληψομένῳ τὴν παῖδα ἀδικουμένῳ περὶ αὐτὴν σφόδρα πάντας ἐπαμυνεῖν· διόπερ Μενελάῳ αὐτὴν ἐκδίδωσι· καὶ μετ' οὐ πολὺ ἀπρασθείσης αὐτῆς ὑπὸ Ἀλεξάνδρου ἐκοινώνησαν τῇ στρατείᾳ διὰ τοὺς γενομένους ὅρκους. ἱστορεῖ Στησίχορος.

[1] mss τυνδάρεως [2] ποτὲ here *B*: mss after οὕνεκα μούνας *B*: mss μόνης, μιᾶς [3] mss κόραις, κούραις, κώρας

How Tyndareüs one day in making sacrifice to all the Gods forgat the joy-giving Cypris; and in anger she caused the maidens of Tyndareüs to be twice-wed and thrice, and forsakers of husbands.

13

Pausanias *Description of Greece* [on Argos]: Near the temple of the Twin Brethren is one dedicated to Ilithyia by Helen when, upon Theseus' departure into Thesprotis with Peirithoüs, Aphidna was taken by the Dioscuri and Helen carried off to Sparta. It is said that she was then with child, and being brought to bed at Argos and dedicating the temple to Ilithyia she gave the daughter she bore into the care of Clytemnestra, already the queen of Agamemnon, and some time afterwards was married to Menelaus. And on this account Euphorion of Chalcis and Alexander of Pleuron in their epic poetry, and Stesichorus of Himera before them, all declare that the Argives hold Iphigeneia to have been the daughter of Theseus.

14

Scholiast on the *Iliad* ['what will become of our covenants and oaths?']: According to some authorities, when the best men in Greece came to win Helen because of her birth and beauty, her father Tyndareüs, for fear that his preference for one should make the rest his enemies, made them all take an oath that if the successful suitor suffered wrong in respect of his daughter, they would all come with a will to his aid; and so gave her to Menelaus. And when soon afterwards she was carried off by Paris, they joined the expedition because of their oaths. The story is told by Stesichorus.

15

Ath. 3. 81 d. Κυδωνίων δὲ μήλων μνημονεύει Στησίχορος ἐν Ελένῃ οὕτως·

πολλὰ μὲν Κυδώνια μᾶλα ποτερρίπτουν ποτὶ
δίφρον ἄνακτι,
πολλὰ δὲ μύρσινα φύλλα
καὶ ῥοδίνους στεφάνους ἴων τε κορωνίδας οὔλας.

16

Ibid. 10. 451 d καὶ Στησίχορος δὲ ἐν Ἑλένῃ·

λιθαργύρεον ποδονιπτῆρα [1]

17

Arg. Theocr. 18 τοῦτο τὸ εἰδύλλιον ἐπιγράφεται Ἑλένης Ἐπιθαλάμιος καὶ ἐν αὐτῷ τινα εἴληπται ἐκ τοῦ πρώτου Στησιχόρου Ἑλένης.[2]

---

18 Παλινῳδία

Hor. *Epod.* 17. 38

. . . paratus expiare seu poposceris
centum iuvencos, sive mendaci lyra
voles sonari, tu pudica, tu proba
perambulabis astra sidus aureum.
infamis Helenae Castor offensus vicem
fraterque magni Castoris, victi prece
adempta vati reddidere lumina:
et tu . . . . . .

Plat. *Rep.* 586 b Ἆρ' οὖν οὐκ ἀνάγκη καὶ ἡδοναῖς συνεῖναι μεμειγμέναις λύπαις, εἰδώλοις τῆς ἀληθοῦς ἡδονῆς καὶ ἐσκιαγραφημέναις, ὑπὸ τῆς παρ' ἀλλήλας θέσεως ἀποχραινομέναις, ὥστε σφοδρὸν ἑκατέρας φαίνεσθαι, καὶ ἔρωτας ἑαυτῶν λυττῶντας τοῖς

[1] perh. nominative [2] mss Ἐ. ἐπιθαλαμίου

---

[1] prob. ref. to marriage of Helen and Menelaus [2] vitrified lead [3] prob. the name given to a new prelude to the *Helen*, not to an entirely new poem [4] this points to S.'s

15

Athenaeus *Doctors at Dinner*: Quinces are mentioned by Stesichorus in his *Helen* thus:

Many the quinces they cast upon the chariot of the king, many the leaves of myrtle, and garlands of roses and twisted wreaths of violets.[1]

16

The Same: Stesichorus too, in his *Helen*, speaks of

a footbath of litharge[2]

17

Introduction to Theocritus' 18th *Idyll*: This idyll is called the *Epithalamy of Helen*, and certain things in it are taken from the first Book of Stesichorus' *Helen*.

---

18 The Palinode[3]

Horace *Epodes*: . . . I will expiate my sin whether you ask of me a hecatomb of oxen or, sung by a lying lute, would fain be a golden constellation walking modest and maiden —you!—amid the stars[4] When Helen was defamed, the wrath of Castor and great Castor's brother was overcome by supplication, and they restored the light to the poet that was blind; even so do you . . .[5]

Plato *Republic*: Does it not follow then that the pleasures such men have to do with are mixed with pains, mere phantoms of the true pleasure, perspective paintings of it, taking each its depth of colour from contrast in juxtaposition with its particular pain and for that reason appearing great, pleasures which make foolish persons madly in love with

having thus apotheosised H.; cf. Eur. *Hel.* 1666, *Or.* 1636 (Vürtheim) [5] the supplication was H.'s; the Romans (and Byzantine Greeks) regarded the Dioscuri as healers, cf. Pers. 2. 56 (Sch.) and Vürtheim p. 69; see also Suid. Φορμίων

ἄφροσιν ἐντίκτειν καὶ περιμαχήτους εἶναι, ὥσπερ τὸ τῆς Ἑλένης εἴδωλον ὑπὸ τῶν ἐν Τροίᾳ Στησίχορός φησι γενέσθαι περιμάχητον ἀγνοίᾳ τῆς ἀληθοῦς;

Zon. 1338 μάτην· ἀντὶ τοῦ ματαίως· ἀπὸ τοῦ θηλυκοῦ εἰς ἐπίρρημα· Στησίχορος· μάτας εἶπον.[1]

Aristid. 2. 572 καὶ ταῦτα μὲν δὴ ταῦτα. μέτειμι δ' ἐφ' ἕτερον προοίμιον κατὰ Στησίχορον· σκιαμαχεῖν μὲν οὖν πως οἶδ' ὅτι δεῖ· πρὸς οὓς γὰρ εἰρήσεται τὰ λεγόμενα οὐχ ἥκουσιν· ὥστε συμβαίνει ἅμα μὲν σχεδὸν ὥσπερ ἂν εἰς μάτην γίγνεσθαι τοὺς λόγους, ἅμα δ' εἶναι σαφέστατον ὡς ὀρθῶς καὶ προσηκόντως εἰρήσονται. αὐτόθεν γάρ που φανερόν, ὅτι οὐ τὸ ἡμέτερον αἴτιον οὔτε νῦν οὔτε ἄλλοτε πώποτε, σὺν θεοῖς εἰπεῖν, ἀλλ' ἡ τούτων περὶ πάντα συνηθὴς ῥᾳθυμία.

Plat. *Phaedr.* 243 a ἐμοὶ μὲν οὖν, ὦ φίλε, καθήρασθαι ἀνάγκη· ἔστιν δὲ τοῖς ἁμαρτάνουσι περὶ μυθολογίαν καθαρμὸς ἀρχαῖος ὃν Ὅμηρος μὲν οὐκ ἤσθετο, Στησίχορος δέ. τῶν γὰρ ὀμμάτων στερηθεὶς διὰ τὴν Ἑλένης κακηγορίαν οὐκ ἠγνόησεν ὥσπερ Ὅμηρος, ἀλλ' ἅτε μουσικὸς ὢν ἔγνω τὴν αἰτίαν, καὶ ποιεῖ εὐθύς· Οὐκ ἔστ' ἔτυμος κ.τ.λ. . . . καὶ ποιήσας δὴ πᾶσαν τὴν καλουμένην Παλινῳδίαν παράχρημα ἀνέβλεψεν.

μάτας εἶπον· μέτειμι δ' ἐφ' ἕτερον προοίμιον.[2]
οὐκ ἔστ' ἔτυμος λόγος οὗτος·
οὐδ' ἔβας ἐν ναυσὶν εὐσέλμοις,
οὐδ' ἵκεο πέργαμα Τροίας.

19–20 Ἐριφύλα

Apollod. 3. 10. 3 (3. 121) εὗρον δέ τινας λεγομένους ἀναστῆναι ὑπ' αὐτοῦ (Ἀσκληπίου) Καπανέα καὶ Λυκοῦργον, ὡς Στησίχορός φησιν ἐν Ἐριφύλῃ, Ἱππόλυτον. . . .

[1] *E, C.R.* 1921 : mss εἰπών : cf. *Vct. E. M.* 212 μάτας εἶπεν
[2] not in Plato ; for metre cf. 54

---

[1] cf. Dio Chrys. 11. 40 (ἐν τῇ ὕστερον ᾠδῇ, 'in the latter poem'), Philostr. *Apoll.* 6. 11. p. 246 (πρότερος λόγος), Aristid. 1.

them and are fought for, as the phantom of Helen according to Stesichorus was fought for by the warriors at Troy in ignorance of the true Helen?

Zonaras *Lexicon*: μάτην: for ματαίως 'vainly,' an adverb made from the feminine [noun]: compare Stesichorus 'I spake vanities.'

Aristides *Orations*: So much for that. 'I will go seek another prelude' as Stesichorus says. Now I know that I, like him, have to fight with shadows. Those to whom my words will apply are not present, and therefore in a sense my words become vain and empty, although at the same time it is certain that they will be true and to the point. For it is obvious that the fault is not nor ever can, save the mark, be mine, but rather lies with the entire and inveterate apathy of these gentlemen themselves.[1]

Plato *Phaedrus*: So it seems that I, my friend, must do expiation. Now the precedent for expiation for sinners in mythology goes back, not indeed to Homer, but to Stesichorus, who when blinded for slandering Helen did not, like Homer, wonder why, but like a true scholar recognised the reason for what had befallen him and without more ado wrote 'This story' etc. . . . and having finished the *Palinode* as it is called, immediately received his sight.

I spake vanities, and I will go seek another prelude. This story is not true; thou wentest not in the benchèd ships, thou camest not to the city of Troy.

19–20[2] Eriphylè

Apollodorus *Library*: I find it maintained that the men Asclepius restored to life were Capaneus and Lycurgus,—and so they were according to Stesichorus in the *Eriphylè*—Hippolytus . . .

212, 2. 72, 3. 150 (Sch.), Tzet. Lyc. 113, Conon 18, Paus. 3. 19. 11 ('S. thereupon composed the Palinode'), and Bergk for 20 further refs: Sch. Lycophr. *Alex.* 822 ascribes the first mention of the phantom of H. to Hesiod [2] cf. Sext. Emp. *Math.* 1. 261, Sch. Pind. *P.* 3. 96, Sch. Eur. *Alc.* 2, Philod. εὐσεβ. p. 52 Gom.

20

Eust. *Il.* 316. 16 Πίνδαρος δὲ οὐκ ἀδελφοὺς ἀλλὰ γονέας μητρὸς μάτρωας ἔφη. Στησίχορος δὲ πάτρωα τὸν κατὰ πατέρα πρόγονον εἶπεν, ἔνθα παρ' αὐτῷ Ἀμφίλοχος ἔφη τό·

πάτρω' ἐμὸν ἀντίθεον Μελάμποδα.

Μελάμπους γὰρ οὗ Ἀντιφάτης οὗ Ὀϊκλῆς οὗ Ἀμφιάραος, ὅθεν Ἀμφίλοχος.

---

21 Εὐρωπεία

Sch. Eur. *Ph.* 670 [ἔνθεν ἐξανῆκε γᾶ]· ὁ μὲν Στησίχορος ἐν Εὐρωπείᾳ τὴν Ἀθηνᾶν ἐσπαρκέναι τοὺς ὀδόντας φησίν.

22–31 Ἰλίου Πέρσις

Dio. Chrys. *Or.* 2. 33 Emp. Στησιχόρου δὲ καὶ Πινδάρου ἐπεμνήσθη τοῦ μὲν ὅτι μιμητὴς Ὁμήρου γενέσθαι δοκεῖ καὶ τὴν ἅλωσιν οὐκ ἀναξίως ἐποίησε τῆς Τροίας, τοῦ δὲ Πινδάρου διὰ κ.τ.λ.

23

Ath. 10. 456 f . . . τὸν Τρωϊκὸν μῦθον, ἐν ᾧ ὁ Ἐπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις, ὡς καὶ Στησίχορός φησιν·

ὤκτιρε γὰρ αὐτὸν ὕδωρ αἰεὶ φορέοντα Διὸς κούρα βασιλεῦσιν.[1]

[1] Eust. δ' αὐτὸν and Διὸς κούροις

---

[1] cf. Mill. *Mél.* 431 [2] under a representation of the Sack of Troy and the flight of Aeneas which form the central part of the sculptured slab known as the *Tabula Iliaca* (in the

20 [1]

Eustathius on the *Iliad*: Pindar uses μάτρως not for the mother's brothers but for her parents. And Stesichorus uses πάτρως for an ancestor on the father's side, where he makes Amphilochus say:

my father's forefather, the godlike Melampus;

for Amphilochus was son of Amphiaraus son of Oïcles son of Antiphates son of Melampus.

---

21 Europeia

Scholiast on Euripides *Phoenissae* [the sowing of the dragon's teeth]: According to Stesichorus in the *Europeia* it was Athena who had sown the teeth.

22–31 The Sack of Troy [2]

Dio Chrysostom *Orations*: He mentioned Stesichorus and Pindar because the former appears to have been an imitator of Homer and described the Sack of Troy in a poem of considerable merit, while the latter etc.

23 [3]

Athenaeus *Doctors at Dinner*: . . . the Trojan story, in which Epeius carries water for the Atreidae, as also Stesichorus says:

For the Daughter of Zeus pitied him to be always bearing water for the kings.[4]

Capitoline Museum, ascribed to the 1st cent.) are the words 'Sack of Troy according to Stesichorus.' He was prob. the earliest authority for the story of the flight of A. to Italy. cf. Stuart-Jones *Cat. Mus. Capit.* p. 165 [3] cf. Eust. 1323. 57
[4] daughter: Athena

24

Paus. 10. 27. 2 [π. τὴν ἐν λέσχῃ Δελφῶν γραφὴν τὴν Πολυγνώτου]· εἰς δὲ Ἑκάβην Στησίχορος ἐν Ἰλίου Περσίδι ἐποίησεν ἐς Λυκίαν ὑπὸ Ἀπόλλωνος αὐτὴν κομισθῆναι.

25

Tz. Lyc. 266 Στησίχορος γὰρ καὶ Εὐφορίων καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς ποιηταί φασι τὸν Ἕκτορα υἱὸν εἶναι τοῦ Ἀπόλλωνος.

26

Sch. Eur. *Andr.* 10 [ῥιφθέντα πύργων Ἀστυάνακτ' ἀπ' ὀρθίων]· . . . Στησίχορον μέντοι ἱστορεῖν[1] ὅτι τεθνήκοι καὶ τὸν τὴν Περσίδα συντεταχότα . . . ποιητήν, ὅτι καὶ ἀπὸ τοῦ τείχους ῥιφείη.

27

Paus. 10. 26. 1 [π. τοῦ αὐτοῦ]· Κλυμένην μὲν οὖν Στησίχορος ἐν Ἰλίου Περσίδι κατηρίθμησεν ἐν ταῖς αἰχμαλώτοις.

28

Ibid. 9 [π. τοῦ αὐτοῦ]· ἐν δὲ ταῖς Πριάμου θυγατράσι ἀριθμήσαι τις ἂν καὶ ταύτην (Μέδουσαν) κατὰ τοῦ Ἱμεραίου τὴν ᾠδήν.

29

Harpocr. καθελών· . . . ἀντὶ τοῦ ἀνελὼν ἢ ἀποκτείνας· ἐχρήσαντο δὲ οὕτω τῷ ὀνόματι καὶ ἄλλοι, ὡς καὶ Στησίχορος ἐν Ἰλίου Περσίδι καὶ Σοφοκλῆς ἐν Εὐμήλῳ.

30

Ath. 13. 610 c ἐὰν μὲν τίς σου πύθηται τίνες ἦσαν οἱ εἰς τὸν δούριον ἵππον ἐγκατακλεισθέντες, ἑνὸς καὶ δευτέρου ἴσως ἐρεῖς ὄνομα, καὶ οὐδὲ ταῦτ' ἐκ τοῦ Στησιχόρου, σχολῇ γάρ, ἀλλ' ἐκ τῆς Σακάδα τοῦ[2] Ἀργείου Ἰλίου Περσίδος· οὗτος γὰρ παμπόλλους τινὰς κατέλεξεν.

[1] Coh: mss Στησίχορος and ἱστορεῖ: the statement is dependent on φασίν [2] Cas: mss σακατου

24

Pausanias *Description of Greece* [on the painting by Polygnotus in the public arcade at Delphi]: Stesichorus says of Hecuba in the *Sack of Troy*, that she was taken by Apollo into Lycia.

25 [1]

Tzetzes on Lycophron: The poets Stesichorus, Euphorion, and Alexander of Aetolia make Hector the son of Apollo.

26

Scholiast on Euripides *Andromache* ['Astyanax hurled from the dizzy walls']: Stesichorus, however, relates that he was killed,[2] and the poet who composed the *Sack* that he was also thrown from the wall.

27

Pausanias [on the same painting]: Clymenè[3] is numbered among the captive women by Stesichorus in his *Sack of Troy*.

28

The Same [on the same]: Medusa also according to the poem of the Himeraean may be reckoned among the daughters of Priam.

29 [4]

Harpocration *Lexicon to the Ten Orators*: καθελών for ἀνελών 'having slain.' This word is so used elsewhere, as for instance by Stesichorus in the *Sack of Troy* and by Sophocles in the *Eumelus*.

30

Athenaeus *Doctors at Dinner*: If you are asked the names of the warriors who were shut up in the Wooden Horse, you will perhaps give one or two, and even these you will hardly get from the works of Stesichorus, but from the *Sack of Troy* by Sacadas of Argos, who gives a long list of them.

[1] cf. Ibid. 658, Sch. *Il.* 24. 259, Ibyc. 38 [2] or 'was killed first'? [3] handmaid of Helen *Il.* 3. 144 (athetised by Aristarchus) [4] cf. Phot. 122. 1, Suid. καθελών, Zon. 1165

Eust. 1698 init. *φασὶ δὲ τοὺς εἰς αὐτὸν κατάβαντας τινὲς μέν, ὧν καὶ Στησίχορος, ἑκατὸν εἶναι, ἕτεροι δὲ δώδεκα.*

31

Sch. Eur. *Or.* 1287 [*ἆρ' ἐς τὸ κάλλος ἐκκεκώφωται ξίφη;*]· *ἆρα εἰς τὸ τῆς Ἑλένης κάλλος βλέψαντες οὐκ ἐχρήσαντο τοῖς ξίφεσιν; οἷόν τι καὶ Στησίχορος ὑπογράφει περὶ τῶν καταλεύειν αὐτὴν μελλόντων· φησὶ γὰρ ἅμα τῷ τὴν ὄψιν αὐτῆς ἰδεῖν αὐτοὺς ἀφεῖναι τοὺς λίθους ἐπὶ τὴν γῆν.*

---

32 Κέρβερος

Poll. 10. 152 *ἀρύβαλλος δὲ ἐπὶ τοῦ συσπάστου βαλλαντίου ἐν Ἀντιφάνους Αὐτοῦ ἐρῶντι καὶ ἐν τῷ Στησιχόρου Κερβέρῳ.*

33 Κύκνος

Sch. Pind. *O.* 10. 19 [*τράπε δὲ Κυκνεία μάχα καὶ ὑπέρβιον Ἡρακλέα*]· *ἐτράπη δὲ καὶ ὑπεχώρησεν ἐν τῇ πρὸς τὸν Κύκνον μάχῃ ὁ μέγιστος Ἡρακλῆς παρορμήσαντος Ἄρεος τὸν Κύκνον. ἐμαχέσατο δὲ Ἡρακλῆς ὅτι κακόξενος ἦν Κύκνος καὶ ἐν παροδῷ τῆς Θεσσαλίας οἰκῶν ἀπεκαρατόμει τοὺς παριόντας ναὸν τῷ Ἀπόλλωνι βουλόμενος ἐκ τῶν κεφαλῶν οἰκοδομῆσαι, καὶ αὐτῷ παριόντι ἐπιβουλεῦσαι ἠθέλησε. συστάσης οὖν αὐτοῖς μάχης ἐφυγάδευσεν Ἡρακλῆς, συμβαλλομένου Ἄρεος τῷ παιδὶ Κύκνῳ. ἀλλ' ὕστερον Ἡρακλῆς καὶ τοῦτον ἀπέκτεινε. Στησίχορος ἐν <τῷ> ἐπιγραφομένῳ Κύκνῳ ἱστορεῖ.*

34 Νόστοι

Paus. 10. 26. 1 [*π. τὴν ἐν λέσχῃ Δελφῶν γραφὴν τὴν Πολυγνώστου*]· *ὡσαύτως δὲ καὶ Ἀριστομάχην ἐποίησεν (ὁ Στησίχορος) ἐν Νόστοις θυγατέρα μὲν Πριάμου Κριτολάου δὲ γυναῖκα εἶναι τοῦ Ἱκετάονος.*

Eustathius on the *Odyssey*: According to some authorities, including Stesichorus, the warriors in the Wooden Horse were a hundred in number; others say twelve.

31

Scholiast on Euripides *Orestes* ['are their swords stunned at her beauty?']: That is, has the sight of Helen's beauty disarmed them? Compare what Stesichorus implies about the men who went to stone her, saying that the moment they saw her face they let the stones fall from their hands.

32[1] Cerberus

Pollux *Vocabulary*: 'Αρύβαλλος is used for a drawpurse in Antiphanes' *Self-Lover* and in the *Cerberus* of Stesichorus.

33 Cycnus

Scholiast on Pindar *Olympians* ['the fight with Cycnus turned even the conquering Heracles about']: The great Heracles was turned about or gave ground in his fight with Cycnus because Cycnus was set on by Ares. The cause of Heracles' fighting him was his inhospitality; for he lived in the Pass of Thessaly and beheaded travellers in order to build a temple to Apollo with their heads, and when Heracles came that way was for serving him the same. Upon their joining battle Heracles took to flight because Ares aided the youthful Cycnus. But afterwards Heracles killed him like the rest of his enemies. The story is told by Stesichorus in the work called *Cycnus*.

34[2] The Return from Troy

Pausanias *Description of Greece* [on the painting by Polygnotus in the public arcade at Delphi]: In the same way Stesichorus in his poem the *Return from Troy* makes Aristomachè daughter of Priam and wife of Critolaüs son of Hicetaon.

[1] cf. Bek. *An.* 1. 448. 27, Suid. ἀρίβαλλος [2] cf. Tzet. *Posth.* 750, Phal. *Ep.* 9

35–43 Ὀρεστεία

Bek. *An.* 2. 783. 14 Στησίχορος δὲ ἐν δευτέρῳ Ὀρεστείας τὸν Παλαμήδην λέγει εὑρηκέναι (τὰ στοιχεῖα).

36

Sch. Ar. *Pac.* 775 [Μοῦσα σὺ μὲν πολέμους ἀπωσαμένη μετ' ἐμοῦ | τοῦ φίλου χόρευσον | κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας | καὶ θαλίας μακάρων· σοὶ γὰρ τάδ' ἐξ ἀρχῆς μέλει]· τὸ χ πρὸς τὴν ἀλλαγὴν τοῦ μέτρου· αὕτη δὲ πλοκή ἐστι καὶ ἔλαθεν· σφόδρα δὲ γλαφυρὸν εἴρηται καὶ ἔστι Στησιχόρειος.

Μοῦσα, σὺ μὲν πολέμους ἀπωσαμένα μετ' ἐμεῦ
κλείουσα θεῶν τε γάμους ἀνδρῶν τε δαῖτας
καὶ θαλίας μακάρων . . .

37, 38

Ibid. 797 and 800 [τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων | τὸν σοφὸν ποιητὴν | ὑμνεῖν ὅταν ἠρινὰ μὲν φωνῇ χελιδὼν | ἡδομένη κελαδῇ]· . . . ἔστι δὲ παρὰ τὰ Στησιχόρου ἐκ τῆς Ὀρεστείας· Τοιάδε κ.τ.λ.—(800) καὶ αὕτη πλοκὴ Στησιχόρειος· φησὶ γὰρ οὕτως· Ὅταν κ.τ.λ.

Τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων
ὑμνεῖν Φρύγιον μέλος ἐξευρόντας ἁβρῶς
ἦρος ἐπερχομένου.[1]

. . . . . .
. . . ὅταν ἦρος ὥρᾳ κελαδῇ χελιδών.

39

Ath. 12. 513 a πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρεστείαν καλουμένην.

[1] ἐξευρόντας Kleine : mss -τα

[1] cf. Ibid. 786. 11, Cram. *A.O.* 4. 318. 19, Sch. Hom. *Ox.*

35[1]–43 The Tale of Orestes[2]

Bekker *Inedita*: According to the Second Book of Stesichorus' *Oresteia* the alphabet was invented by Palamedes.[3]

36

Scholiast on Aristophanes *Peace* ['Come, Muse, thrust wars away and dance with me your friend in honour of a wedding of Gods and a feast of men and eke a merrymaking of the Blest; for such has always been thy care']: The mark refers to the change of metre. It is an 'intermixture' [or mingling of the author's words with another's] which has escaped notice. The passage is very neatly done and the original is by Stesichorus.

Come, Muse, thrust wars away, and with me in honour of a wedding of Gods and a feast of men and eke a merrymaking of the Blest . . .[4]

37, 38

Scholiast on the same (later) ['Such roundelays of the fair-tressed Graces must the clever poet sing when the glad voice of the swallow babbles of the Springtide']: This comes from the passage of Stesichorus in the *Tale of Orestes*: 'Such' etc.—(again) This too is an 'intermixture' of Stesichorus who says: 'When' etc.

Such roundelays of the fair-tressed Graces must we find out a gentle Phrygian tune to sing, at the Spring-time's coming in.

. . . . . .

. . . when the swallow babbles in the Springtide.

39

Athenaeus *Doctors at Dinner*: Stesichorus has drawn a great deal upon Xanthus, for instance upon his *Oresteia* as it is called.

Pap. 1087. 48 [2] cf. *fr.* 59 [3] cf. Eur. *fr.* 578 N, Sch. Ar. *Thesm.* 771 [4] how much is S. and how much A. is not certain

39 A

Philod. π. εὐσεβείας 24 Gomp. (*Vol. Herc. Coll. nov.* 2. 52) Στη[σίχορο]ς δ' ἐν Ὀρεστεί[α κατ]ακολουθήσας [Ἡσιό]δῳ τὴν Ἀγαμέ[μνονος Ἰ]φιγένειαν εἰ[ναι τὴ]ν Ἑκάτην νῦν [ὀνομαζ]ομένην . . .

40

Sch. Eur. *Or.* 46 φανερὸν ὅτι ἐν Ἄργει ἡ σκηνὴ τοῦ δράματος ὑποκεῖται· Ὅμηρος δὲ ἐν Μυκήναις φησὶν εἶναι τὰ βασίλεια τοῦ Ἀγαμέμνονος, Στησίχορος δὲ καὶ Σιμωνίδης ἐν Λακεδαίμονι.

41

Ibid. 268 [δὸς τόξα μοι κερουλκά, δῶρα Λοξίου]· Στησιχόρῳ ἑπόμενος τόξα φησὶν αὐτὸν (τὸν Ὀρέστην) εἰληφέναι παρὰ Ἀπόλλωνος.

42

Sch. Aesch. *Cho.* 733 Κίλισσαν δέ φησι τὴν Ὀρέστου τρόφον, Πίνδαρος δὲ Ἀρσινόην, Στησίχορος Λαοδάμειαν.

43

Plut. *Sera N. V.* 10 ὥστε πρὸς τὰ γενόμενα καὶ πρὸς τὴν ἀλήθειαν ἀποπλάττεσθαι τὸ τῆς Κλυταιμνήστρας ἐνύπνιον τὸν Στησίχορον, οὑτωσί πως λέγοντα·

τᾷ δὲ δράκων ἐδόκησε μολεῖν κάρα βεβροτώ-
μενος ἄκρον,
ἐκ δ' ἄρα τοῦ βασιλεὺς Πλεισθενίδας ἐφάνη.[1]

44 Σκύλλα

Sch. Ap. Rh. 4. 828 [Σκύλλης Αὐσονίης ὀλοόφρονος ἣν τέκε Φόρκυν]· . . . Στησίχορος δὲ ἐν τῇ Σκύλλῃ[2] Λαμίας τὴν Σκύλλαν φησὶ θυγατέρα εἶναι.

[1] τᾷ δὲ Reis : mss τάδε· [2] one ms inserts εἴδους τινος, a gloss either on Λ. 'a ghost' or corrupted from Εἰδοῦς τινες 'some say Eido' = Eidothea (Vürtheim)

39 A

Philodemus *On Piety*: Stesichorus in the *Oresteia* follows Hesiod in identifying Iphigeneia daughter of Agamemnon with her whom we now call Hecate.[1]

40

Scholiast on Euripides *Orestes*: It is clear that the scene of the play is laid at Argos, whereas Homer puts Agamemnon's palace at Mycenae, and Stesichorus and Simonides at Sparta.

41

The Same ['Give me the horn-tipped bow that Loxias gave']: He follows Stesichorus in saying that Orestes received it from Apollo.

42

Scholiast on Aeschylus *Libation Bearers*: He calls Orestes' nurse Cilissa (Cilician), whereas Pindar calls her Arsinoë and Stesichorus Laodameia.

43

Plutarch *On the Slow Revenge of the Deity*: And so it seems that Stesichorus has modelled Clytemnestra's dream on real happenings and the truth of the matter, where he says, if I remember rightly:

She dreamt there came a serpent with a bloodied crest, and out of it appeared a king of Pleisthenes' line.[2]

44[3] Scylla

Scholiast on Apollonius of Rhodes *Argonautica* ['the baleful Scylla of Ausonia, offspring of Phorcyn']: . . . According to Stesichorus in the *Scylla*, Scylla was the daughter of Lamia.

[1] cf. Paus. 1. 43. 1, 2. 22. 7 [2] *i. e.* not, after all, of the new dynasty of Aegisthus (so Vürtheim) [3] cf. Cram. *A. P.* 3. 479. 14, Eust. *Od.* 1714. 34

45 Συοθῆραι

Ath. 3. 95 d [π. ῥύγχους]· Στησίχορος δέ φησιν ἐν Συοθήραις·

. . . . κρύψε δὲ ῥύγχος
ἄκρον γᾶς ὑπένερθεν.[1]

46 Καλύκα

Ibid. 14. 619 d 'Αριστόξενος δὲ ἐν δ' περὶ Μουσικῆς 'ἦδον' φησιν 'αἱ ἀρχαῖαι γυναῖκες Καλύκην τινὰ ᾠδήν. Στησιχόρου δ' ἦν ποίημα ἐν ᾧ Καλύκη τις ὄνομα ἐρῶσα Εὐάθλου νεανίσκου ηὔχετο[2] τῇ 'Αφροδίτῃ γαμηθῆναι αὐτῷ, ἐπεὶ δὲ ὑπερεῖδεν ὁ νεανίσκος, κατεκρήμνισεν ἑαυτήν. ἐγένετο δὲ ὁ πάθος περὶ Λευκάδα. σωφρονικὸν δὲ πάνυ κατεσκεύασεν ὁ ποιητὴς τὸ τῆς παρθένου ἦθος, οὐκ ἐκ παντὸς τρόπου θελούσης συγγενέσθαι τῷ νεανίσκῳ, ἀλλ' εὐχομένης εἰ δύναιτο γυνὴ τοῦ Εὐάθλου γενέσθαι κουριδία, ἢ εἰ τοῦτο μὴ δυνατὸν ἀπαλλαγῆναι τοῦ βίου.'

47–48 'Ραδίνα

Str. 8. 347. 20 [π. Τριφυλίας]· καὶ πεδίον δ' αὐτόθι καλεῖται Σαμικόν· ἐξ οὗ πλέον ἄν τις τεκμαίροιτο ὑπάρξαι ποτὲ πόλιν τὴν Σάμον. καὶ ἡ 'Ραδίνη δὲ ἣν Στησίχορος ποιῆσαι δοκεῖ, ἧς ἀρχή

Ἄγε Μοῦσα λίγει', ἄρξον ἀοιδᾶς ἐρατωνύμου[3]
Σαμίων περὶ παίδων ἐρατᾷ φθεγγομένα λύρᾳ,

ἐντεῦθεν λέγει τοὺς παίδας· ἐκδοθεῖσαν γὰρ τὴν 'Ραδίνην ἐς Κόρινθον τυράννῳ φησὶν ἐκ τῆς Σάμου πλεῦσαι πνέοντος ζεφύρου, οὐ δήπουθεν τῆς 'Ιωνικῆς Σάμου· τῷ δὲ αὐτῷ ἀνέμῳ καὶ ἀρχιθέωρον εἰς Δελφοὺς τὸν ἀδελφὸν αὐτῆς ἐλθεῖν· καὶ τὸν ἀνεψιὸν ἐρῶντα αὐτῆς ἅρματι εἰς Κόρινθον ἐξορμῆσαι παρ' αὐτήν· ὅ τε τύραννος κτείνας ἀμφοτέρους ἅρματι ἀποπέμπει τὰ σώματα, μεταγνοὺς δὲ ἀνακαλεῖ καὶ θάπτει.

[1] κρύψε Dind : mss -αι [2] mss εὔχεται [3] *B* : mss ἐρατῶν ὕμνους

---

[1] Eust. *Il.* 1236. 62 [2] for name (and source?) Vürtheim

45 The Boar-Hunters

Athenaeus *Doctors at Dinner* [on the word ῥύγχος 'snout']: Compare Stesichorus in the *Boar-Hunters*:

and buried the tip of his snout in the ground.

46 [1] Calycè

The Same: To quote the 4th Book of Aristoxenus *On Music*, 'In former times the women had a song called *Calycè*. It was a poem of Stesichorus in which a maiden called Calycè prayed to Aphrodite that she might be wedded to a youth called Euathlus, and when he flouted her threw herself over a cliff. The scene was laid near Leucas. The poet gave the maiden a very virtuous character; for she had no wish that she and the youth should come together at all hazards, but prayed that she might if possible be his wedded wife, or failing that might die.' [2]

47–48 Rhadinè

Strabo *Geography* [on Triphylia in Elis]: Moreover there is a plain there called Samian; from which it may further be inferred that there was once a city of Samos at the spot. Again the *Rhadinè* ascribed to Stesichorus [3] which begins

Come Muse sweet and clear, begin thou the lovely-namèd lay of the Samian children, crying aloud on thy lovely lyre,

describes the children as of this Samos. For the poet tells how Rhadinè when wedded to a despot at Corinth sailed from Samos thither with a south-west wind—certainly not the Ionian Samos; and with the same wind her brother arrived at the head of a sacred mission at Delphi; moreover her cousin-lover goes off after her to Corinth in a chariot, and the despot kills them both and sends the bodies back in a chariot, though indeed he repents and recalls it, and buries them.

[1] compares Sch. Ap. Rh. 4. 57 [3] metre perh. favours Strabo's doubt

48

Paus. 7. 5. 6 [*π. τῆς Ἰωνικῆς Σάμου*]· *Σαμίοις δὲ κατὰ τὴν ὁδὸν τὴν ἐς τὸ Ἡραῖον τὸ Ῥαδίνης καὶ Λεοντίχου μνῆμά ἐστι, καὶ τοῖς ὑπὸ ἔρωτος ἀνιωμένοις εὔχεσθαι καθέστηκεν ἰοῦσιν ἐπὶ τὸ μνῆμα.*

49

Eust. *Il.* 10. 1 *οὐ μόνον γὰρ Ἡσίοδος ἐκ τῆς τῶν Μουσῶν ἐπικλήσεως ἄρχεται . . . Στησίχορος δὲ τὸ κύριον ἐκφωνεῖ ἐν τῷ·*

Δεῦρ' ἄγε, Καλλιόπεια λίγεια.

50

Ath. 4. 154 f *ὅποτε δὲ παροξύνεται, τὸ μάχεσθαι ῥῆμα περιέχει, ὡς ἐν τῷ πυγμάχος, ναυμάχος,*

αὐτόν σε, πυλαιμάχε, πρῶτον,[1]

παρὰ Στησίχορῳ,

51

Sch. *Il.* 6. 507 [*κροαίνων*]· *κυμβαλίζων· καὶ ἐρίγδουποι καὶ ὑψήχεες ἵπποι· Στησίχορος κοιλωνύχων ἵππων πρύτανιν τὸν Ποσειδῶνά φησιν.*

e. g. κοιλωνύχων ἵππων πρύτανις Ποτειδᾶν

52

Plut. *de EI* 21 *εἰκότως οὖν ὁ Εὐριπίδης εἶπε· 'Λοιβαὶ νεκύων φθιμένων, | ἀοιδαί, τὰς χρυσοκόμας | Ἀπόλλων οὐκ ἐνδέχεται,' καὶ πρότερος ἔτι τούτου ὁ Στησίχορος·*

. . . . μάλα τοι μελιστᾶν[2]
παιγμοσύνας <τε> φιλεῖ μολπάς τ' Ἀπόλλων
κάδεα δὲ στοναχάς τ' Ἄϊδας ἔλαχεν.

[1] mss *πυλαμάχε*, but cf. Hesych. Wil. *χορεύματά τοι μάλιστα*

[2] *B*: mss *μάλιστα*;

48

Pausanias *Description of Greece* [on the Ionian Samos]: At the side of the road leading to the temple of Hera the Samians have the tomb of Rhadinè and Leontichus, to which distressed lovers resort to pray.

49

Eustathius on the *Iliad*: For Hesiod is not the only poet who begins with the invocation to the Muses . . . Stesichorus raises the proper cry in the words:

Come hither, Calliopè the sweet and clear.

50 [1]

Athenaeus *Doctors at Dinner*: But when the compound is accented paroxytone it includes (not the noun μάχη but) the verb μάχεσθαι 'to fight,' as in πυγμάχος 'pugilist,' ναυμάχος 'naval combatant,' and

thyself first, thou fighter in the gate,

from Stesichorus.

51

Scholiast in the *Iliad* ['clattering,' of a galloping horse's hoofs]: like the cymbals; horses are elsewhere called 'thundering' and 'loud-ringing.' Stesichorus says

prince of the hollow-hoovèd steeds, Poseidon

52

Plutarch *On the E at Delphi*: Euripides, then, was right in saying 'Libations for the dead, songs which golden-haired Apollo accepteth not,' [2] and before him Stesichorus:

Well doth Apollo love the merry play and the music of the makers of song, but as for mourning and lament, they belong to the grave.

[1] cf. Sch. Ven. *Il.* 5. 31 τῷ παρὰ Σ. πολεμάχῳ [2] *Suppl.* 975

53

Stob. *Fl.* 124. 15 [παρηγορικά]· Στησιχόρου·

ἀτέλεστά τε γὰρ καὶ ἀμάχανα τοὺς θανόντας κλαίειν.[1]

54

Ibid. 126. 5 [ὅτι τῶν πλείστων μετὰ θάνατον ἡ μνήμη διαρρεῖ ταχέως]· Στησιχόρου·

θανόντος ἀνδρὸς πᾶσ' ἀπόλλυθ' ἁ ποτ' ἀνθρώπων χάρις.[2]

55

Sch. Ap. Rh. 3. 106 [τῆς δ' Ἥρη ῥαδινῆς ἐπεμάσσατο χειρός]· ῥαδινῆς· τρυφερᾶς . . . Στησίχορος ἐπὶ τοῦ εὐτόνου·

ῥαδινοὺς δ' ἐπέπεμπον ἄκοντας.

56

Ibid. 1. 230 [ἐπεὶ Μινύαο θυγάτρων | οἱ πλεῖστοι καὶ ἄριστοι ἀφ' αἵματος εὐχετόωντο | ἔμμεναι]· ὁ γὰρ Μινύας πολλὰς εἶχεν θυγατέρας· καὶ γὰρ ὁ Ἰάσων Ἀλκιμέδης ἐστι τῆς Κλυμένης τῆς Μινύου θυγατρός· Στησίχορος δὲ Ἐτεοκλυμένης φησίν.

57

Sch. Eur. *Rhes.* [τετράμοιρον νυκτὸς φρουράν]· ὅτι οἱ ἀρχαῖοι εἰς τρεῖς φυλακὰς νέμουσι τὴν νύκτα . . . Στησίχορος δὲ καὶ[3] Σιμωνίδης πεντεφύλακόν φησιν ὑποτίθεσθαι τὴν νύκτα.

58

Arist. *H.A.* 5. 9 πάντων δὲ σπανιώτατον ἰδεῖν ἀλκυόνα ἐστί· σχεδὸν γὰρ περὶ Πλειάδος δύσιν καὶ τροπὰς ὁρᾶται μόνον, καὶ ἐν τοῖς ὑφόρμοις πρῶτον ὅσον περιπεταμένη περὶ τὸ πλοῖον ἀφανίζεται εὐθύς· διὸ καὶ Στησίχορος τοῦτον τὸν τρόπον ἐμνήσθη περὶ αὐτῆς.

[1] ἀτέλεστά τε Ahr.: mss ἀτελέστατα, ἀτέλεστα [2] *E*: mss πᾶσ' ὄλυτ' ἀ.χ., πᾶσα πολιά ποτ' ἀ.χ. [3] *E*, for φησιν cf. Simon. 225: mss ᾧ

53

Stobaeus *Anthology* [Words of Consolation]: Stesichorus:

'Tis a vain and impotent thing to bewail the dead.

54

The Same [That the Memory of most Men perishes quickly after Death]: Stesichorus:

When a man dies, all his glory among men dies also.

55

Scholiast on Apollonius of Rhodes *Argonautica* ['Hera took her by the slender hand']: ῥαδινῆς 'slender,' here used to mean 'delicate' . . . Stesichorus uses it to mean 'vigorous':

and they launched the slender javelins.

56[1]

The Same ['For of the blood of the daughters of Minyas did the most and best of them boast to be']: Minyas had many daughters; Jason himself is the son of Alcimedè daughter of Clymenè daughter of Minyas, though Stesichorus indeed calls her Eteoclymenè.

57

Scholiast on Euripides *Rhesus* ['the four-part watch of night']: The ancients divide the night into three watches. . . but Stesichorus and Simonides make it of five watches.

58

Aristotle *History of Animals*: It is an extremely rare thing to see a halcyon. They are seen almost only about the setting of the Pleiades and the winter solstice, and then only just flying round ships at anchor and disappearing, a characteristic which is mentioned by Stesichorus.[2]

[1] perh. belongs to the *Pelias* (1–4)

[2] cf. Ap. Rh. 1. 1086 and Sch.

59

Ath. 12. 512f τοῦτον οὖν (τὸν Ἡρακλέα), φησὶν (ὁ Μεγακλείδης), οἱ νέοι ποιηταὶ κατασκευάζουσιν ἐν ληστοῦ σχήματι μόνον περιπορευόμενον, ξύλον ἔχοντα καὶ λεοντῆν καὶ τόξα· καὶ ταῦτα πλάσαι πρῶτον Στησίχορον τὸν Ἰμεραῖον. καὶ Ξάνθος δ' ὁ μελοποιός, πρεσβύτερος ὢν Στησιχόρου, ὡς καὶ αὐτὸς ὁ Στησίχορος μαρτυρεῖ, ὥς φησιν ὁ Μεγακλείδης, οὐ ταύτην αὐτῷ περιτίθησι τὴν στολήν, ἀλλὰ τὴν Ὁμηρικήν. πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος ὥσπερ καὶ τὴν Ὀρεστείαν καλουμένην.

60

Paus. 9. 11. 1 ἐπιδεικνύουσι δὲ (οἱ Θηβαῖοι) Ἡρακλέους τῶν παίδων τῶν ἐκ Μεγάρας μνῆμα, οὐδέν τι ἀλλοίως τὰ ἐς τὸν θάνατον λέγοντες ἢ Στησίχορος ὁ Ἰμεραῖος καὶ Πανύασσις ἐν τοῖς ἔπεσιν ἐποίησαν.

61

Plut. *Herod. Mal.* 14 καίτοι τῶν παλαιῶν καὶ λογίων ἀνδρῶν οὐχ Ὅμηρος, οὐχ Ἡσίοδος, οὐκ Ἀρχίλοχος, οὐ Πείσανδρος, οὐ Στησίχορος, οὐκ Ἀλκμάν, οὐ Πίνδαρος Αἰγυπτίου ἔσχον λόγον Ἡρακλέους ἢ Φοίνικος, ἀλλ' ἕνα τοῦτον ἴσασι πάντες Ἡρακλέα τὸν Βοιώτιον ὁμοῦ καὶ Ἀργεῖον.

62

E.M. 772. 49 Τυφωεύς· Ἡσίοδος αὐτὸν Γῆς γενεαλογεῖ, Στησίχορος δὲ Ἥρας μόνης κατὰ μνησικακίαν Διὸς τεκούσης αὐτόν.

63

Apollod. 3. 10. 3 Κυνόρτου δὲ Περιήρης, ὃς γαμεῖ Γοργοφόνην τὴν Περσέως, καθάπερ Στησίχορός φησι, καὶ τίκτει Τυνδάρεων, Ἰκάριον, Ἀφαρέα, Λεύκιππον.

---

[1] cf. Eust. 1279. 8 [2] prob. in the last part ('seal of 62

59 [1]

Athenaeus *Doctors at Dinner*: According to Megacleides the more modern poets represent Heracles as going about only in the guise of a robber, with club, lion-skin, and bow, the fashion being set by Stesichorus of Himera. And indeed the lyric poet Xanthus, who comes earlier than Stesichorus, as the latter testifies,[2] does not, if we may believe Megacleides, dress him in this part but in that given him by Homer, though Stesichorus in many respects imitates Xanthus, for instance in the poem called the *Tale of Orestes*.

60

Pausanias *Description of Greece*: The Thebans show the tomb of the children born by Megara to Heracles, giving a similar account of their death to that we read in Stesichorus of Himera and in the epic poems of Panyassis.

61

Plutarch *The Malignity of Herodotus*: And yet among the ancient men of letters neither Homer, nor Hesiod, nor Archilochus, nor Peisander, nor Stesichorus, nor Alcman, nor Pindar, knew anything of an Egyptian or Phoenician Heracles, but all know this one Heracles who was both of Boeotia and of Argos.

62

Etymologicum Magnum: Typhoeus:—Hesiod makes him a son of Earth, but Stesichorus says that Hera bore him as a virgin-birth out of spite to Zeus.[3]

63 [4]

Apollodorus *Library*: From Cynortes sprang Perieres, who, as Stesichorus relates, married Gorgophonê daughter of Perseus, and had by her Tyndareüs, Icarius, Aphareus, and Leucippus.

one of his poems, cf. Timoth. *Persae* [3] cf. *Hom. H. Pyth. Apoll.* 129 ff [4] cf. Tzetz. Lyc. 511

64

Sch. Ap. Rh. 4. 1310 [Ἀθήνην, | ἣμ:s ὕτ' *ἐκ πατρὸς κεφαλῆς θόρε παμφαίνουσα*]· *πρῶτος Στησίχορος ἔρη σὺν ὅπλοις ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναπηδῆσαι τὴν Ἀθηνᾶν.*

65

Str. 1. 42 *Ἡσίοδος δ' ἐν Καταλόγῳ φησί· 'Καὶ κούρην Ἀράβοιο τὸν Ἑρμάων ἀκάκητα | γείνατο καὶ Θρονίη κούρη Βήλοιο ἄνακτος.' οὕτω δὲ καὶ Στησίχορος λέγει.*

66

Vibius Seq. *Flum.* 11 Oberl.: Himera oppido Thermitanorum dedit nomen Himerae. hoc flumen in duas findi partes ait Stesichorus, unam in Tyrrhenum mare alteram in Libycum decurrere.

67

Him. *Or.* 29. 3 *κοσμεῖ μὲν γὰρ Ἀνακρέων τὴν Τηΐων πόλιν τοῖς μέλεσι κἀκεῖθεν ἄγει τοὺς ἔρωτας· κοσμεῖ δὲ καὶ Ἀλκαῖος τὴν Λέσβον καὶ πανταχοῦ τῶν μελῶν προσάγει Μυτιλήνην· καὶ Σιμωνίδῃ καὶ Βακχυλίδῃ ἡ Ἴουλις ἐσπούδασται· τὴν δὲ Ἱμέραν τὴν Σικελικὴν οὐκ ἐλευθέραν ποιεῖ μόνον τῶν τυράννων ἀλλὰ καὶ λογοῖς κοσμεῖ Στησίχορος.*[1]

68

Ael. *H. A.* 17. 37 *Ἀμῶντες*[2] *ἄνθρωποι τὸν ἀριθμὸν ἑκκαίδεκα τοῦ ἡλίου καταφλέγοντος δίψῃ πιεζόμενοι ἕνα ἑαυτῶν ἀπέστειλαν ἐκ πηγῆς γειτνιώσης κομίσαι ὕδωρ. οὐκοῦν ὁ ἀπιὼν τὸ μὲν δρέπανον τὸ ἀμητικὸν διὰ χειρὸς εἶχε, τὸ δὲ ἀρυστικὸν ἀγγεῖον κατὰ τοῦ ὤμου ἔφερεν. ἐλθὼν δὲ καταλαμβάνει ἀετὸν ὑπό τινος ὄφεως ἐγκρατῶς τε καὶ εὐλαβῶς περιπλακέντα ἀποπνιγόμενον ἤδη. ἔτυχε δὲ ἄρα καταπτὰς μὲν ἐπ' αὐτὸν ὁ ἀετός, οὐ μὴν κρείττων γενόμενος, οὐδὲ τῆς ἐπιβουλῆς ἐγκρατὴς ἐγένετο, οὐδὲ—τοῦτο δὴ τὸ Ὁμηρικόν—τοῖς ἑαυτοῦ τέκνοις τὴν δαῖτα ἐκόμισεν, ἀλλὰ ταῖς ἐκείνου σπείραις περιπεσὼν ἔμελλεν οὐ μὰ Δί' ἀπολεῖν ἀλλ' ἀπολεῖσθαι. εἰδὼς οὖν ὁ γεωργὸς ἀκούων τὸν μὲν εἶναι Διὸς*

[1] new text, Schenkl *Hermes* 1911. 420 [2] Reiske: mss *ἀλοῶντες*

64

Scholiast on Apollonius of Rhodes *Argonautica* ['Athena, when she leapt all gleaming from her father's head']: Her leaping armed from the head of Zeus is first mentioned by Stesichorus.

65

Strabo *Geography*: To quote Hesiod's *Catalogue of Women*, 'And the daughter of Arabus whom guileless Hermaon begat of Thronia daughter of king Belus.' So too Stesichorus.

66

Vibius Sequester *On Rivers*: The Himera has given its name to the town of the Thermitani. According to Stesichorus it divides into two parts, one flowing into the Tyrrhenian Sea, the other into the Libyan.

67

Himerius *Orations*: Anacreon adorns with his songs the city of Teos, and derives from it his loves; Alcaeus adorns Lesbos and fills his poems with Mytilenè; Simonides and Bacchylides have set their hearts upon Iulis; and Sicilian Himera is not only freed from despots but adorned with words by Stesichorus.

68

Aelian *Natural History*: Some reapers one day, being very thirsty because of the burning heat, sent one of their number —it was sixteen[1]—to fetch water from a neighbouring spring. This man, who went sickle in hand with the pitcher on his shoulder, found when he reached the place an eagle held so irresistibly in the coils of a snake that he must very soon be crushed to death. It seems the eagle had pounced on the snake, but failing to make good his design, instead of carrying off, as Homer says, supper to his children, became encircled in those coils and was like rather to be slain than to slay. Having heard that the eagle is the messenger and minister of Zeus, and well knowing that the snake is an evil

[1] this seems pointless; text perhaps corrupt

ἄγγελον καὶ ὑπηρέτην, εἰδώς γε μὴν κακὸν θηρίον τὸν ὄφιν, τῷ δρεπάνῳ τῷ προειρημένῳ διακόπτει τὸν θῆρα, καὶ μέντοι καὶ τῶν ἀφύκτων ἐκείνων εἱργμῶν τε καὶ δεσμῶν τὸν ἀετὸν ἀπολύει. ὁδοῦ μέντοι πάρεργον τῷ ἀνδρὶ ταῦτα καὶ δὴ διεπέπρακτο, ἀρυσάμενος δὲ τὸ ὕδωρ ἦκε, καὶ πρὸς τὸν οἶνον κεράσας ὥρεξε πᾶσιν, οἱ δὲ ἄρα ἐξέπιον καὶ ἀμυστὶ καὶ πολλὰς ἐπὶ τῷ ἀρίστῳ. ἔμελλε δὲ καὶ αὐτὸς ἐπ' ἐκείνοις πίεσθαι· ἔτυχε γὰρ ὑπηρέτης κατ' ἐκεῖνό πως τοῦ καίρου ἀλλ' οὐ συμπότης ὤν. ἐπεὶ δὲ τοῖς χείλεσι τὴν κύλικα προσῆγεν, ὁ σωθεὶς ἀετὸς ζωάγρια ἐκτίνων οἱ καὶ κατὰ τύχην ἀγαθὴν ἐκείνου ἔτι διατρίβων περὶ τὸν χῶρον, ἐμπίπτει τῇ κύλικι καὶ ἐκταράττει αὐτὴν καὶ ἐκχεῖ τὸ ποτόν. ὁ δὲ ἠγανάκτησεν—καὶ γὰρ ἔτυχε διψῶν—καὶ λέγει 'Εἶτα μέντοι σὺ ἐκεῖνος ὢν'—καὶ γὰρ τὸν ὄρνιν ἐγνώρισε—'τοιαύτας ἀποδίδως τοῖς σωτῆρσι τὰς χάριτας; ἀλλὰ πῶς ἔτι ταῦτα καλά; πῶς δ' ἂν καὶ ἄλλος σπουδὴν καταθέσθαι θελήσειεν ἔς τινα αἰδοῖ Διὸς χαρίτων ἐφόρου τε καὶ ἐπόπτου;' καὶ τῷ μὲν ταῦτα εἴρητο, καὶ ἐφρύγετο· ὁρᾷ δὲ ἐπιστραφεὶς τοὺς πιόντας ἀσπαίροντάς τε καὶ ἀποθνῄσκοντας. ἦν δὲ ἄρα ὡς συμβαλεῖν ἐμημεκὼς ἐς τὴν πηγὴν ὁ ὄφις καὶ κεράσας αὐτὴν τῷ ἰῷ. ὁ μὲν οὖν ἀετὸς τῷ σώσαντι ἰσότιμον τῆς σωτηρίας [1] ἀπέδωκε τὸν μισθόν.

λέγει δὲ Κράτης ὁ Περγαμηνὸς ὑπὲρ τούτων καὶ τὸν Στησίχορον ᾄδειν ἔν τινι ποιήματι οὐκ ἐκφοιτήσαντί [2] που ἐς πολλούς, σεμνόν τε καὶ ἀρχαῖον ὡς γε κρίνειν ἐμὲ τὸν μάρτυρα ἐσάγων.

69

Arg. Hes. *Scut.* καὶ Στησίχορος δέ φησιν Ἡσιόδου εἶναι τὸ ποίημα.

70

Paus. 9. 2. 3 [π. πέτραν τὴν Ἀκταίωνος]· Στησίχορος δὲ ὁ Ἱμεραῖος ἔγραψεν ἐλάφου περιβαλεῖν δέρμα Ἀκταίωνι τὴν θεόν, παρασκευάζουσάν εἱ τὸν ἐκ τῶν κυνῶν θάνατον ἵνα δὴ μὴ γυναῖκα Σεμέλην λάβοι.

71

Plut. *Soll. An.* 36 ἡ δὲ Ὀδυσσέως ἀσπὶς ὅτι μὲν ἐπίσημον εἶχε δελφῖνα καὶ Στησίχορος ἱστόρηκεν.

[1] Hercher: mss *σώσαντι ἀμοιβὴν τῆς ἰσοτίμου σωτηρίας*
[2] Gesner: mss *εἰσφ.*

beast, the fellow severs the creature with the aforesaid sickle and thereby frees the eagle from his hopeless bondage. His unlooked for task accomplished, the countryman filled his pitcher, and going back, mixed the wine and handed it round to the company, who all drained both their first cups before the meal and many more along with it, he biding his turn, being for that time as it happened servingman and not guest. But no sooner had he raised cup to lip, than the eagle he had saved, being as luck would have it still near by and willing to make him good return for his service, swoops on the cup, knocks it over, and wastes the drink. The poor fellow, who had been very thirsty, cried out in anger, 'You are the bird I saved'—for he recognised him—'and is this your gratitude? Here's a foul end to a fair deed! How shall any man now trouble himself for another out of fear of the God of thanks?' As he spoke he grew still thirstier, when turning about he sees his comrades that had drunk gasping in the article of death. It seems that the snake had voided his vomit in the spring and fouled it with his venom, and the eagle had returned like with like and saved his saviour.

Crates of Pergamum declares that this tale is told in a little-known poem of Stesichorus, which in my opinion is high and ancient authority.

69

Introduction to Hesiod *Shield of Heracles*: Stesichorus too ascribes the poem to Hesiod.

70

Pausanias *Description of Greece* [on the Rock of Actaeon]: According to Stesichorus of Himera the Goddess wrapped Actaeon in a doeskin, thus making ready for his slaying by the hounds, to prevent his taking Semelè to wife.

71[1]

Plutarch *On the Sagacity of Animals*: Stesichorus too tells that Odysseus' shield was blazoned with a dolphin.

[1] cf. Tz. Lyc. 658

72

Philod. *Mus.* p. 87 K τοὺς ἐ[πὶ τῶν] ἀγώνων ἔτερπεν ὁ Τέρ[παν]δρος· τοὺς δὲ Λάκωνας <μὴ>[1] ἀπειθεῖν προαιρουμένους τῷ μαντείῳ καὶ λόγῳ δ' ἴσως προαχθέντας ἀποτεθεῖσθαι τὴν στάσιν· ἀλλὰ μὴν καὶ τὸ μὲν κατὰ Στησίχορον οὐκ ἀκριβῶς ἱστορεῖται, τὸ δὲ Πινδάρειον εἰ τῆς διχονοίας ἔπαυσεν[2] οὐκ οἴδαμεν. εἰ δ' οὖν ἑκάτερον ἐγένετο διὰ λόγων κατεσκευασμένων ποιητικῶς ἔπαυσαν,[3] οὐ διὰ μελῶν, ἔτι δ' ἂν καθίκοντο μᾶλλον εἰ διὰ πεζῶν ἀπέτρεπον.

73

Sch. *Il.* 23. 91 [ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σόρος ἀμφικαλύπτοι | χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ[4]]· Διόνυσος Ἡφαιστον γενόμενον ἐν Νάξῳ μιᾷ τῶν Κυκλάδων ξενίσας ἔλαβε παρ' αὐτοῦ δῶρον χρύσεον ἀμφορέα· διωχθεὶς δὲ ὕστερον ὑπὸ Λυκούργου καὶ καταφυγὼν εἰς θάλασσαν φιλοφρόνως αὐτὸν ὑποδεξαμένης Θέτιδος ἔδωκεν αὐτῇ τὸν

Ἡφαιστότευκτον ἀμφορέα·

ἡ δὲ τῷ παιδὶ ἐχαρίσατο, ὅπως μετὰ θάνατον ἐν αὐτῷ αὐτοῦ ἀποτεθῇ τὰ ὀστᾶ. ἱστορεῖ Στησίχορος.

74

Plut. *Fac. Lun.* 19 εἰ δὲ μή, Θέων ἡμῖν οὗτος τὸν Μίμνερμον ἐπάξει καὶ τὸν Κυδίαν καὶ τὸν Ἀρχίλοχον, πρὸς δὲ τούτοις Στησίχορον καὶ τὸν Πίνδαρον, ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους τὸν 'φανερώτατον <ἄστρον> κλέπτομενον' καὶ 'μέσῳ ἄματι νύκτα γιγνομέναν' καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου 'σκότους ἁρπάσαν' φάσκοντας.

75

Et. Vind. cod. clviii.

Ἄϊος·

ὄνομα παρὰ Στησιχόρῳ.

[1] Kemke [2] Hartung: ms ἔπεισεν [3] Hartung: ms ἔ[πε]ι[σ]αν [4] 92 athetised by Aristarchus and omitted by Aeschin. *Tim.* 149

72

[1] the next line perh. began εἵματα 'clothes'; the speaker is feminine [2] cf. Gram. ined. cod. Paris. 2881 (see *B*), Jul. *Ep.* 18 [3] *i. e.* whether you regard the first dipody as iambic or choriambic there are two shorts standing for a long

26

Ath. 6. 229 b [*π. τηγάνου*]· *χωρὶς δὲ τοῦ τ στοιχείου Ἴωνες ἤγανον λέγουσιν, ὡς Ἀνακρέων·*

χἰδρά τ' ἐν ἠγάνῳ βαλεῖν.[1]

27

Prisc. *Inst.* 2. 289 Keil: nec mirum, cum Graecorum quoque poetae similiter inveniantur protulisse vocativos in supradicta terminatione. Anacreon

Ἥλιε καλλιλαμπέτη

pro *καλλιλαμπέτα.*

28

Att. Fort. *Metr. Hor.* 6. 301 Keil: secundum colon Anacreon sic:

ἀσπίδἄ ῥῖψ' ἐς ποταμοῦ καλλιρόου προχοίας.[2]

29

E.M. Vet. *κόκκυξ*· *ὄρνεον ἐαρινὸν παραπλήσιον ἱέρακι· ἢ δειλότατον, ὥς φησιν Ἀνακρέων·*

ἐγὼ δ' ἀπ' αὐτὴν φύγον ὥστε κόκκυξ.[3]

30

Heph. 100 [*π. ἀσυναρτήτων*]· *Ἀνακρέων δὲ οὐκ ἰαμβικῷ ἀλλὰ χοριαμβικῷ ἐπιμίκτῳ πρὸς τὰς ἰαμβικὰς ἐπήγαγε τὸ ἰθυφαλλικόν·*

Τὸν λυροποιὸν ἠρόμην Στράττιν εἰ κομήσει.[4]

[1] *χἰδρα* Mein: mss *χεῖρα* doubtful with *βαλεῖν* (Sim. 27. 4 is different) [2] = *προχοὰς E*, cf. *πνοία* Sim. 78 and *Od.* 5. 453: mss *τροχοας* [3] *ἀπ' αὐτὴν* (tmesis) *E*, cf. 51: mss *αὐτῆς φεύγω*, *ἀπ' αὐτῆς φεύγω* (or *φάγω*) [4] Poll. *μυροποιὸν*

26[1]

Athenaeus *Doctors at Dinner* [on τήγανον 'pot']: The Ionians say ἤγανον without the τ; compare Anacreon:

to throw green-wheat into the pot

27

Priscian *Elements of Grammar*: And it is not surprising, since the Greek poets are found to lengthen vocatives in the above termination. Compare Anacreon:

Fair-shining Sun,

καλλιλαμπέτη for καλλιλαμπέτα.[2]

28

Attilius Fortunatianus *The Metres of Horace* [contrasted with *Te deos oro Sybarin cur properas amando*: The second line of the stanza Anacreon gives thus:

cast his shield into the outflow of a fair-streaming river.[3]

29

Old Etymologicum Magnum: Cuckoo:—a spring bird the size of a falcon; a great coward; compare Anacreon:

as for me, I fled her like a cuckoo.

30[4]

Hephaestion *Handbook of Metre* [on 'unconnectable' metres]: Anacreon has added the ithyphallic not to an iambic dipody but to an iambic-mixed choriambic:

I asked the lyre-maker Strattis if he would wear his hair long.

[1] cf. Eust. 1862. 12, *Il.* 244. 46, 701. 18 [2] if this poem referred to an eclipse it must have been either 19 May 557 or 17 Feb. 478 [3] his: or 'my [4] cf. Poll. 7. 177

31

Ath. 10. 433 e [π. δίψης μεταφορικῶς]· τῆς δὲ δίψης οὐδέν ἐστι πολυποθητότερον. διόπερ καὶ τὸ Ἄργος πολυδίψιον ὁ ποιητὴς ἔφη, τὸ πολυπόθητον διὰ τὸν χρόνον. τὸ δίψος γὰρ πᾶσιν ἰσχύραν ἐπιθυμίαν ἐμποιεῖ τῆς περιττῆς ἀπολαύσεως. διὸ καὶ ὁ Σοφοκλῆς φησι . . . καὶ Ἀνακρέων·

φίλη γὰρ εἰς ξείνοις· ἔασον δέ με διψέωντα.[1]

32

Heph. 56 [π. χοριαμβικοῦ καταληκτικοῦ]· τὰ δὲ εἰς τὸν ἀμφίβραχυν ἢ βακχεῖον (περαιοῦται)· οἷον δίμετρα μὲν . . . τρίμετρα δὲ οὗν τὸ Ἀνακρέοντος·

δακρυόεσσάν τ' ἐφίλησεν αἰχμήν.

33

Ath. 11. 475 f [π. κελέβης]· Ἀνακρέων·

ᾠνοχόει δ' ἀμφίπολος μελιχρὸν
τρικύαθον <ἄρδην> κελέβην ἔχουσα.[2]

34

Sch. Pind. *I.* 2. 9 [ἀ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις | οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας | ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί]· περιφραστικῶς οὖν εἴρηκεν ἀπὸ τοῦ τοὺς γράφοντας λαμβάνειν· τοιοῦτον δέ τι καὶ Ἀνακρέων εἴρηκε, καὶ μήποτε ἡ ἀπόστασίς ἐστιν εἰς τὰ ὑπ' ἐκείνου εἰρημένα· φησὶ γάρ·

οὐδ' ἀργυρέη κω τότ' ἔλαμπε Πειθώ.[3]

[1] εἰς ξείνοις Schn : mss εισξεινεις : for constr. of γάρ before imper. cf. 106, [Sim.] 46 Bgk. διψέωντα *E*, cf 39 ; for constr. cf. Soph. *O. T.* 256 : mss διψῶντα πιεῖν [2] *E*, cf. Alc. 166 μελιάδεος : mss οἶνον τρικ. [3] κω τότ' *B*, cf. Pind. and impf. ἔλαμπε : mss κοτε, κ᾽κότε, πώποτε

31

Athenaeus *Doctors at Dinner* [on thirst used metaphorically]: There is no desire more imperious than that of thirst. And that is why Homer calls Argos 'much-thirsted-after' as being much desired owing to lapse of time [to the absent Greeks]. And so too Sophocles says . . . and Anacreon:

You are dear, my lass, to strangers; so, as for me, you may let me go thirsty.[1]

32[2]

Hephaestion *Handbook of Metre* [on the choriambic catalectic]: some of these lines end with an amphibrach or bacchius, for instance in the dimeter . . . and in the trimeter compare Anacreon:

and fell in love with the tearful strife of war.

33

Athenaeus *Doctors at Dinner* [on the large cup or jar called κελέβη]: compare Anacreon:

And the serving-maid, holding the jar aloft, poured out the honey-sweet, mixed one in three.[3]

34

Scholiast on Pindar ['For in those days the Muse was not covetous nor an hireling, nor were sweet tender-voiced lays sold of honey-lipped Terpsichorè with their faces silvered o'er']: he speaks periphrastically of those who wrote for money. The same sort of thing is said by Anacreon, and possibly there is a reference to it here. Anacreon says:

nor in those days did Persuasion shine all silver.

[1] or, keeping the ms-reading, 'let a thirsty man drink'
[2] cf. Sch. Heph., Sch. Hermog. 7. 488 Walz
[3] *i. e.* one of wine to three of water

35

Att. Fort. *Metr. Hor.* 6. 301 Keil [' Lydia dic per omnes ']: apud Anacreontem:

. . . . . εἶμι λαβὼν ἐς Ἥρης.[1]

36

Sch. *Il.* 24. 278 [ἡμιόνους . . . τούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν]· Μυσοὶ πλησίον ὄντες Ἐνέτων, ὅθεν ἡμιόνων γένος, ἢ ὡς καὶ παρὰ Μυσοῖς διαφόρων ὄντων· Ἀνακρέων·

. . . ἱπποθόρων δὲ Μυσοὶ
εὗρον μείξιν ὄνων πρὸς ἵππους,[2]

ἐξ ὧν ἡμίονοι.

37

Sch. *Od.* 12. 313 [ζαὴν ἄνεμον]· ἔδει χωρὶς τοῦ ν ζαή . . . ἔστιν οὖν Αἰολικὸν τὸ μετὰ τοῦ ν, καὶ ἔδει αὐτὸ Αἰολικῶς βαρύνεσθαι ὡς τὸ· <. . . παρ' Ἀλκαίῳ· τὸ δὲ χωρὶς τοῦ ν Ἰωνικὸν ὡς τὸ>[3]

. . . αἰνοπαθῆ πατρίδ' ἐπόψομαι

παρ' Ἀνακρέοντι. ὁ δὲ Ἀρίσταρχός φησι περισπᾶσθαι.

38

Hesych. ἔρμα· ἔρεισμα ἢ ἔργμα ἢ τὸν πετρώδη καὶ ἐπικυματιζόμενον ὥστε μὴ βλέπειν τόπον τῆς θαλάσσης· καὶ Ἀνακρέων·

ἀσήμων ὑπὲρ ἑρμάτων φορεῦμαι.

[1] *B*: mss εἶμι λ. εἰσάρας [2] ἱπποθόρων Hoffm: mss -ον εὗρον B: mss -εῖν wrongly restored after loss of -ον by haplogr. [3] Kehrhahn-*E*

35

Attilius Fortunatianus *The Metres of Horace*: In Anacreon we find:

I will take it to the temple of Hera.[1]

36

Scholiast on the *Iliad* ['mules . . . which the Mysians gave once to Priam']: The Mysians, because they dwelt near the Enetians who first bred mules, or because the Mysian mules are particularly good; compare Anacreon:

The Mysians invented the mixing of mare-leaping asses with horses;

whence the mules come by the name 'half-asses.'

37

Scholiast on the *Odyssey* ['a stormy wind']: The correct form is without ν ζαῆ . . . it is Aeolic with the ν and should be accented on the last but one, as in: <. . .[2] in Alcaeus; the form without the ν is Ionic; compare:>

. . . I should live to see my country in misery;

Anacreon. But Aristarchus says it should be circumflexed (*i. e.* in the Homeric passage).

38[3]

Hesychius *Glossary* ἕρμα: a support, or a deed, or a rocky place of the sea hidden from view by the waves; compare Anacreon:

I am carried over hidden reefs.

[1] prob. the famous temple on Cape Colonna in Samos, cf. 21
[2] citation apparently lost; cf. Cram. *A. P.* 3. 480. 31 [3] cf. Harpocr. 86, Phot. 15. 1, Suid. ἑρμάν (*sic*), Zon. 860 (ἑρμᾶν)

39

Sch. Aesch. *Prom.* 128 [μηδὲν φοβηθῇς· φιλία γὰρ ἄδε τάξις]· ὁ ῥυθμὸς Ἀνακρέοντειός ἐστι κεκλασμένος πρὸς τὸ θρηνητικόν· ἐπεδήμησε γὰρ τῇ Ἀττικῇ Κριτίου ἐρῶν, καὶ ἠρέσθη λίαν τοῖς μέλεσι τοῦ τραγικοῦ· ἐχρῶντο δὲ αὐτοῖς οὐκ ἐν πάντι τόπῳ ἀλλ' ἐν τοῖς θρηνητικοῖς, ὡς καὶ Σοφοκλῆς . . . ἔστι δὲ ταῦθ' ὅμοια τῷ·

οὐδ' αὖ μ' ἐάσεις μεθύοντ' ἀπ' οἴκαδ' ἐλθεῖν ;[1]

40

Ath. 15. 674 c [π. στεφάνων]· ἐκάλουν δὲ καὶ οἷς περιεδέοντο τὸν τράχηλον στεφάνους ὑποθυμίδας[2] ὡς . . . καὶ Ἀνακρέων

. . . πλεκτὰς δ' ὑποθυμίδας
περὶ στήθεσι λωτίνας ἔθεντο.

41

Poll. 7. 172

χήλινον ἄγγος ἔχον
πυθμένας ἀγλαῶν σελίνων[3]

ὅταν εἴπῃ Ἀνακρέων τὸ ἐκ σχοινίων πλέγμα δηλοῖ.

42

Ath. 1. 20 f [π. ὀρχήσεως]· τῆς δὲ Μέμφιδος ὀρχήσεως ἦρα καὶ Σωκράτης ὁ σοφός, καὶ πολλάκις καταλαμβανόμενος ὀρχούμενος, ὥς φησι Ξενοφῶν, ἔλεγε τοῖς γνωρίμοις παντὸς εἶναι μέλους τὴν ὄρχησιν γυμνάσιον. ἔταττον γὰρ τὸ ὀρχεῖσθαι ἐπὶ τοῦ κινεῖσθαι καὶ ἐρεθίζεσθαι. Ἀνακρέων·

Καλλίκομοι κοῦραι Διὸς ὠρχήσαντ' ἐλαφρῶς·

Ἴων· Ἐκ τῶν ἀέλπτων μᾶλλον ὤρχησαν φρένες.

[1] *E*, for tmesis cf. 29 : mss οἴκαδ' ἀπελθεῖν [2] Dind. : mss ὑποθυμιάδας (bis) [3] ἀγλαῶν *B* sugg : mss ἀγρίων

39

Scholiast on Aeschylus [– – ∪ – – ∪∪ – ∪ – ∪ – –]: The rhythm is Anacreon's, a broken rhythm suitable to a lament. For Anacreon lived some time at Athens at the time of his passion for Critias, and took delight in the lyrics of Aeschylus. They did not use them promiscuously but only in laments, as Sophocles did . . . This passage resembles (in rhythm):

And will you not suffer me to go home drunk?

40

Athenaeus *Doctors at Dinner* [on garlands]: They called the garlands they tied about their necks ὑποθυμίδες; compare . . . and Anacreon:

and woven necklets of lotus did they put about their breasts.

41[1]

Pollux *Vocabulary*: When Anacreon speaks of:

a wattle basket full of the stalks of fine white celery

he means one plaited of reeds.

42

Athenaeus *Doctors at Dinner* [on dancing]: Even Socrates the Wise loved the Memphis dance, and according to Xenophon, when he was found dancing it, as often happened, he used to say to his acquaintance 'Dancing exercises every limb.' For the verb 'to dance' was used of movement and excitement; compare Anacreon:

Lightly danced the fair-tressèd daughters of Zeus;[2]

and Ion: 'The unexpected makes hearts dance the more.'

[1] cf. Hesych. κεχήλωμαι [2] context seems to imply that the dancing is metaphorical, but?

43 A and B

Heph. 42 [π. δακτυλικοῦ]- καὶ τὸ τετράμετρον εἰς δισύλλαβον καταληκτικόν, ᾧ πρῶτος μὲν ἐχρήσατο Ἀρχίλοχος ἐν ἐπῳδοῖς . . . ὕστερον δὲ καὶ Ἀνακρέων τούτῳ τῷ μέτρῳ καὶ ὅλα ἄσματα συνέθηκεν·

Ἡδυμελὲς χαρίεσσα χελιδοῖ[1]

καί·

Μνᾶται δηὖτε φαλακρὸς Ἄλεξις.

44

Ibid. τῶν δὲ εἰς συλλαβὴν τῷ μὲν πενθημιμερεῖ Ἀρχίλοχος κέχρηται . . , τῷ δὲ ἑφθημιμερεῖ Ἀνακρέων·[2]

ταῦτα μὲν ὡς ἂν ὁ δῆμος ἅπας

B′

45

Ath. 15 671 e [π. στεφάνων]· καὶ διὰ τί παρὰ τῷ αὐτῷ ποιητῇ (τῷ Ἀνακρέοντι) λύγῳ τινὲς στεφανοῦνται; φησὶν γὰρ ἐν τῷ δευτέρῳ τῶν Μελῶν·

<Ὁ> Μεγίστης δ' ὁ φιλόφρων δέκα δὴ μῆνες ἐπεί τε
στεφανοῦταί τε λύγῳ καὶ τρύγα πίνει μελιαδέα.[3]

ὁ γὰρ τῆς λύγου στέφανος ἄτοπος· πρὸς δεσμοὺς γὰρ καὶ πλέγματα ἡ λύγος ἐπιτήδειος.

46

Ibid. 10. 430 d [π. μεῖξιν οἴνου]· ὁ δ' Ἀνακρέων ἔτι ζωρότερον (κιρνάναι κελεύει τὸν οἶνον) ἐν οἷς φησι·

καθαρῇ δ' ἐν κελέβῃ πέντε <τε> καὶ τρεῖς ἀναχείσθων.[4]

[1] mss ἁδυμελὲς [2] Wil : mss Ἀλκμάν [3] ὁ Gais [4] sc. κυάθους

43 A and B

Hephaestion *Handbook of Metre* [on the dactylic]: . . . and the tetrameter catalectic in a disyllable, which was first used by Archilochus in epodes . . . but this metre was afterwards employed by Anacreon for whole poems; compare:

Sweet-tunèd swallow, pretty bird,

and:

Lo! baldhead Alexis goes a-wooing.

44

The Same: For those which are catalectic in a syllable, compare the two-and-a-half-foot used by Archilochus . . . and the three-and-a-half-foot used by Anacreon thus:

this, like all the people

Book II

45[1]

Athenaeus *Doctors at Dinner* [on garlands]: And why in Anacreon are people crowned with osier? In the second Book of his *Lyric Poems* we read:

For ten months now has Megistes crowned himself, dear heart, with osier and drunk the honey-sweet must.[2]

A garland of osier is absurd; for it is used for cords and wickerwork.

46

The Same [on mixing wine]: Anacreon bids them mix the wine still stronger[3] in this passage:

And into a pure clean jar let them pour five and three.

[1] cf. Ath. 15. 674a, Poll. 6. 107

[2] prob. means he is an *ephebus* of 10 months' standing

[3] than one of wine to two of water, Alc. 163

47

Sch. *Il.* 23. 88 [ἀμφ' ἀστραγάλοισι χολωθείς]· αἱ πλείους τῶν κατ' ἄνδρα ἀμφ' ἀστραγάλῃσιν ἐρίσσας· καὶ ἔστιν Ιωνικώτερον·

ἀστραγάλαι δ' Ἔρωτός εἰσιν μανίαι τε καὶ κυδοιμοί·

Ἀνακρέων.

48, 49 πρὸς Σμερδίην

Heph. 74 [π. τοῦ ἀπ' ἐλάσσονος Ἰωνικοῦ]· καὶ τῷ βραχυκαταλήκτῳ (τετραμέτρῳ) δὲ Ἀνακρέων ὅλα ἄσματα συνέθηκεν·

Μεγάλῳ δηῦτέ μ' Ἔρως ἔκοψεν ὥστε χαλκεὺς πελέκει, χειμερίῃ δ' ἔλουσεν ἐν χαράδρῃ.

Ath. 12. 540 e [π. τρυφὴν Πολυκράτους]· . . . ὡς καὶ ἀντερᾶν Ἀνακρέοντι τῷ ποιητῇ· ὅτε καὶ δι' ὀργὴν ἀπέκειρε τὸν ἐρώμενον.

Ael. *V.H.* 9. 4 ὁ δὲ (Ἀνακρέων) οὐ προσεποιήσατο αἰτιᾶσθαι τὸν Πολυκράτην σωφρόνως καὶ ἐγκρατῶς, μετήγαγε δὲ τὸ ἔγκλημα ἐπὶ τὸ μειράκιον, ἐν οἷς ἐπεκάλει τόλμαν αὐτῷ καὶ ἀμαθίαν ὁπλισαμένῳ κατὰ τῶν ἑαυτοῦ τριχῶν. τὸ δὲ ᾆσμα τὸ ἐπὶ τῷ πάθει τῆς κόμης Ἀνακρέων ᾄσατο· ἐμοῦ γὰρ αὐτὸς ἄμεινον ᾄσεται.

Fav. ap. Stob. *Fl.* 66. 6 [κατὰ κάλλους]· πρὸς ταῦτα γελοῖος ἂν φανείη ὁ Ἀνακρέων καὶ μικρολόγος τῷ παιδὶ μεμφόμενος ὅτι τῆς κόμης ἀπεκείρατο, λέγων ταῦτα·

ἀπέκειρας δ' ἀπαλῆς κόμης ἄμωμον ἄνθος[1] *e. g.*[2] σέθεν αὐτοῦ χέρα σῇσι θριξὶν ἀντοπλισθείς.

[1] *B* ἀπεκείραο, unnecessarily with l. 2 following [2] *E*

47

Scholiast on the *Iliad* ['in anger over the dice']: Most of the 'individual' editions read 'in a quarrel over the dice,' using the feminine form of the word 'dice'; and it is more Ionic; compare Anacreon:

The dice of Love are madnesses and mellays.

48[1], 49

Hephaestion *Handbook of Metre* [on the *Ionicum a minore*]: And the brachycatalectic tetrameter is used for whole poems by Anacreon:

Lo now! Love like a smith has smitten me with a great hammer and soused me in the chill stream.

Athenaeus *Doctors at Dinner* [on the luxury of Polycrates, tyrant of Samos]: . . . Indeed he was actually a rival in love to the poet Anacreon, and in a fit of rage cut his beloved's hair off.

Aelian *Historical Miscellanies*: Anacreon did not take upon himself to accuse Polycrates with coolness and determination, but shifted the blame to the beloved, in words in which he upbraided his rashness and ignorance in taking arms against his own hair. But the poem on the disaster to the hair must be sung by Anacreon; for he will sing it himself better than I.

Favorinus in Stobaeus *Anthology* [against beauty]: And therefore Anacreon would seem to be ridiculous and captious in blaming the lad for having cut off some of his hair, in the words:

You have shorn a faultless flower of soft hair, [arming your own hand against your tresses].

[1] cf. Gram. ap. Gais. Hesych. 322 (ἔλισσεν for ἔλουσεν)

50

E.M. 714. 38 σῖτος . . . ἔστι γὰρ καὶ σίω διὰ τοῦ ι, ᾧ χρῆται Ἀνακρέων, οἷον·

. . . . . Θρῃκίην σίοντα χαίτην

51

Heph. 74 [π. τοῦ ἀπ' ἐλάσσονος ἰωνικοῦ]· τῶν δὲ τριμέτρων τὸ μὲν ἀκατάληκτον . . . παρὰ δὲ Ἀνακρέοντι·[1]

Ἀπό μοι θανεῖν διδοῖτ'·[2] οὐ γὰρ ἂν ἄλλη
λύσις ἐκ πόνων γένοιτ' οὐδαμὰ τῶνδε.

52

Sch. Pind. *O.* 3. 52 [χρυσυκέρων ἔλαφον θήλειαν]· ὅτι ἐπιμελῶς οἱ ποιηταὶ τὴν θήλειαν ἔλαφον κέρατα ἔχουσαν εἰσάγουσι . . . τέτακται δὲ παρὰ Ἀνακρέοντι·

ἀγανῶπ' οἷά τε νεβρὸν νεοθηλέα
γαλαθηνόν, ὅστ' ἐν ὕλῃ κεροέσσης
ἀπολειφθεὶς ὑπὸ μητρὸς ἐπτοήθη.[3]

Ζηνόδοτος δὲ μετεποίησεν ἐροέσσης διὰ τὸ ἱστορεῖσθαι τὰς θηλείας κέρατα μὴ ἔχειν, ἀλλὰ τοὺς ἄρρενας· οἱ μέντοι ποιηταὶ πάντες κέρατα ἐχούσας ποιοῦσιν.

53

E.M. 713. 26

σινάμωροι πολεμίζουσι θυρωροί·

ἐν δευτέρῳ Ἀνακρέων· μεμορημένοι φησὶ πρὸς τὸ σίνεσθαι.

[1] mss add ἑτέρως ἐσχημάτισται which Wil. rightly transfers to 57 [2] *E*: mss γένοιτ' from below [3] ἀγανῶπ' *E*, cf. ἀγανῶπις, δεινῶπες: mss Sch. ἀγανῶς (so edd.), ἄγαν ὡς, ἄ . . . (Ath. and Ael. omit) ὕλῃ: mss Sch. (with Zenod. ?) ὕλαις ἀπολειφθεὶς: mss Ael. and Sch. ὑπολ.

50[1]

Etymologicum Magnum: σῖτος 'corn': . . . The word σείω 'to shake' occurs also in the form σίω, which is used by Anacreon, for instance:

tossing [your] Thracian locks

51[2]

Hephaestion *Handbook of Metre* [on the *Ionicum a minore*]: Of the trimeter the acatalectic . . . and in Anacreon:

May my due be granted me, to die; for no other deliverance from these troubles e'er can be.

52[3]

Scholiast on Pindar ['a golden-hornèd hind']: The poets make a point of giving the female deer horns . . . and it is the rule in Anacreon:

mild-eyed, like a little suckling fawn that is afraid when he is left by his hornèd mother in the wood.

Zenodotus changed κεροέσσης 'horned' to ἐροέσσης 'lovely' because it is recorded that the females have no horns like the males; nevertheless all the poets give them horns.

53

Etymologicum Magnum:

Doorkeepers that fight are a mischief,

from the second Book of Anacreon; σινάμωροι 'a mischief,' that is μεμορημένοι 'destined to mischief,' σίνεσθαι.

[1] cf. Joan. Charax 745 *Philol.* 1900. 618 (ὄρικὴν for Θρηκίην)
[2] cf. *Paroem.* 2. 301 [3] cf. Ael. *H.A.* 7. 39, Ath. 9. 396d, Eust. 711. 34, Poll. 5. 76

54

Apoll. *Lex. Hom.* θέσθαι· . . . καὶ γὰρ ὁ θησαυρὸς θεσμὸς λέγεται, καθάπερ καὶ Ἀνακρέων λέγει·

ἀπὸ δ' ἐξείλετο θέσμον μέγαν . . .

55

Ath. 10. 427 d [π. κοττάβου]· ἐχρῶντο γὰρ ἐπιμελῶς τῷ κοτταβίζειν, ὄντος τοῦ παιγνίου Σικελικοῦ, καθάπερ καὶ Ἀνακρέων ὁ Τήϊος πεποίηκε·

Σικελὸν κότταβον ἀγκύλῃ λατάζων[1]

56

Ibid. 15. 674 c [π. στεφάνων]· ἐστεφανοῦντο δὲ καὶ τὸ μέτωπον, ὡς ὁ καλὸς Ἀνακρέων ἔφη·

ἐπὶ δ' ὀφρύσιν σελίνων στεφανίσκους
θέμενοι θάλειαν ὀρτὴν ἀγάγωμεν
Δεονύσῳ.[2]

57

Heph. 74 [π. τοῦ ἀπ' ἐλάσσονος ἰωνικοῦ]· παρὰ δὲ Ἀνακρέοντι (51) . . . τὸ δὲ καταληκτικὸν (τρίμετρον) ἑτέρως ἐσχημάτισται·[3]

Δεονύσου σαῦλαι Βασσαρίδες

58

Sch. Eur. *Hec.* 933 [λέχη δὲ φίλια μονόπεπλος | λιποῦσα, Δωρὶς ὡς κόρα . . .]· . . . καὶ δωριάζειν τὸ γυμνουμένας φαίνεσθαι τὰς γυναῖκας· Ἀνακρέων·

. . . . ἐκδῦσα κιθῶνα δωριάζειν[4]

[1] Σικελὸν : mss Σικελικὸν λατάζων Wil : mss δαΐζων [2] ὀρτὴν Herm : mss ἑορτὴν Δεονύσῳ Fick : mss Διον. [3] ἑτ. ἐσχ. Wil. from above (51) [4] κιθῶνα Fick : mss χιτ.

54

Apollonius *Homeric Lexicon*: θέσθαι 'to deposit': . . . for θησαυρός 'treasure' is sometimes called θεσμός; compare Anacreon:

and carried off a great treasure.

55

Athenaeus *Doctors at Dinner* [on the game called *co'tabus*]: They regularly practised the *cottabus*,—a Sicilian game as Anacreon of Teos testifies:

throwing with elbow curved the drops of the Sicilian cottabus.

56[1]

The Same [on garlands]: They also wore garlands on their foreheads, as the beautiful Anacreon says:

Let us put little garlands of celery upon our brows and hold high festival to Dionysus.

57

Hephaestion *Handbook of Metre* [on the *Ionicum a minore*]: And in Anacreon (51) . . . but the catalectic trimeter is different:[2]

the prancing Bassarids of Dionysus[3]

58[4]

Scholiast on Euripides ['leaving her dear bed in a single garment like a Dorian maid']: . . . and 'to play the Dorian' means that women display themselves naked; compare Anacreon:

to put off her shift and play the Dorian

[1] cf. Sch. Pind. *O.* 3. 19, Eust. 1908. 55 [2] the second foot being a molossus [3] *i. e.* Bacchants prancing: *or* of straddling gait [4] cf. Eust. 975. 30

59

Ptolem. (Ammon.) π. διαφ. λέξ. 43 [διαβόητος]· ἐπιβόητος[1] δ' ὁ μοχθηρὰν ἔχων φήμην· 'Ανακρέων ἐν δευτέρῳ·

καί μ' ἐπίβωτον κατὰ γείτονας ποιήσεις.

60

Sch. *Od.* 21. 71 [μύθου ἐπισχεσίην]· μύθου· νῦν τῆς στάσεως, ὅθεν καὶ 'Ανακρέων τοὺς ἐν τῇ Σάμῳ ἁλιεῖς ὄντας στασιαστάς <μυθητάς> φησιν·

μυθηταὶ δ' ἀνὰ νῆσον, ὦ Μεγίστη,
Νυμφέων διέπουσιν ἱρὸν ἄστυ.[2]

61

Ptol. π. διαφ. λέξ. Heylbut *Hermes* 1887 p. 459 λεία διὰ μὲν τοῦ ε γραφόμενον σημαίνει τὴν ἀπελασίαν τῶν τετραπόδων· 'λῃΐδα δ' ἐς πεδίου συνελάσσαμεν ἤλιθα πολλήν' (Λ 677)· διὰ δὲ τοῦ ι γραφόμενον ἐπίρρημά ἐστιν ἐπιτάσεως δηλωτικόν . . . ἐάν τε συστέλληται ὡς παρὰ 'Ανακρέοντι

λίην δὲ δειλιάζεις[3]

62

Plut. *Erot.* 4 οὕτως εἷς ἔρως ὁ γνήσιος ὁ παιδικός ἐστιν, οὐ πόθῳ στίλβων ὡς ἔφη τὸν παρθένιον 'Ανακρέων, οὐδὲ μύρων ἀνάπλεως καὶ γεγανώμενος, ἀλλὰ λιτὸν αὐτὸν ὄψει καὶ ἄθρυπτον ἐν σχολαῖς φιλοσόφων.

e. g. . . . πόθῳ στίλβουσα καὶ μύροισι
γεγανωμένη

[1] mss ἐπιβόητον, but cf. Eust. [2] μυθηταὶ: Ap. μυθιῆται, *E.M.* μυθῖται ἀνὰ νῆ. ὦ M. Butt: mss ἀν νησῳ μεγίστῃ: Eust. ἐν νήσῳ Νυμφέων here *E*, *B* after ἄστυ: from Hesych. ἄστυ νυμφέων· τὴν Σίμον 'Ανακρέων ἱρὸν Butt: mss ἱερὸν [3] Heyl. mss δηλ.

59 [1]

Ptolemaeus *Differences in words*: [διαβόητος 'famous']: ἐπιβόητος means 'of ill report'; compare Anacreon's second Book:

and you will make me of ill-report among my neighbours.

60 [2]

Scholiast on the Odyssey [a vexed passage]: μύθου 'word, tale':—here 'rebellion' or 'factious strife'; hence Anacreon calls the rebel fishermen of Samos μυθηταί; compare:

And rebels, O Megistes, bear sway in the sacred city of the Nymphs.[3]

61

Ptolemaeus *Differences in Words*: λεία with an ε means 'cattle-lifting'; compare Homer *Iliad* 677 'A mightily abundant prey did we drive together out of the plain'; whereas with the ι it is an adverb expressing intensity, whether the ι is short as in Anacreon:

thou art exceedingly afraid

62

Plutarch *Amatorius*: So true is it that the genuine love is of the male, not 'shining with desire,' as Anacreon says of that of the female, nor 'gleaming with unguents,' but of plain aspect and not spoilt in the schools of the philosophers.

e.g. . . . shining with desire and gleaming with unguents

[1] cf. *E.G.* 142. 45, 199. 3, Eust. 1856. 12 [2] cf. Eust. 1901. 44, Apoll. *Lex. Hom.*, *E.M.* 593. 48 ('Anacreon in Book II of his *Lyric Poems*'), Bek. *An.* 2. 524. 5, *E.G.* 84. 1, Steph. Byz. Αἴγινα, Hesych. μυθητῆρες· στασιασταί and μυθίτης· ὁ στασιώτης (Cyr.) [3] *i. e.* Samos: metre Phalaecian

63

Heph. 94 [*π. ἀσυναρτήτων*]· *ἔνδοξόν ἐστι ἐπισύνθετον καὶ τὸ διπενθημιμερὲς τὸ ἐγκωμιολογικὸν καλούμενον, ὅπερ ἐστὶν ἐκ δακτυλικοῦ πενθημιμεροῦς καὶ ἰαμβικοῦ τοῦ ἴσου, ᾧ κέχρηται μὲν καὶ Ἀλκαῖος . . . κέχρηται δὲ καὶ Ἀνακρέων ἐν πλείοσιν ᾄσμασιν·*

Ὀρσόλοπος μὲν Ἄρης φιλεῖ μεναίχμην.[1]

64

E.M. 429. 50 *ἡμετερεῖος· κτητικόν ἐστι· σημαίνει δὲ τοῦ ἡμετέρου· ἐχρᾶτο δὲ τῇ λέξει Ἀνακρέων·*

οὔτε γὰρ ἡμετέρειον οὔτε κᾱλόν

65

Sch. Pind. *O.* 8. 42 [Ἰλίῳ μέλλοντες; *ἐπὶ στέφανον τεῦξαι*]· *μεταφορικῶς τὸ τεῖχος· στέφανος γὰρ ὥσπερ τῶν πόλεων τὰ τείχη· καὶ Ἀνακρέων·*

νῦν δ' ἀπὸ μὲν στέφανος πόλεως ὄλωλεν.[2]

66

Choer. Heph. 55. 16 [*π. συνεκφωνήσεως*]· *ὁ δ' Ἡλιόδωρός φησιν ἐν τῇ Εἰσαγωγῇ ὅτι καὶ τρεῖς εἰς μίαν συνεκφωνοῦνται συλλαβαί, ὡς τὸ διπενθημιμερὲς τοῦτο τὸ δοκοῦν εἶναι ἐλεγεῖον·*

Ἀστερίς, οὔτε σ' ἐγὼ φιλέω οὔτ' Ἀπελλῆς·

οὐ γάρ ἐστιν ἐλεγεῖον, ἀλλὰ τὸ πρῶτον αὐτοῦ μέρος ἐστὶ δακτυλικόν, τὸ δὲ δεύτερον ἰαμβικόν· δύο γὰρ ἰαμβικοὺς ἔχει πόδας καὶ συλλαβήν· τὸ οὖν φιλέω οὔ ἀπὸ βραχείας καὶ μιᾶς μάκρας.

[1] cf. Hesych. *ὀρσολοπεῖται· διαπολεμεῖται, ταράσσεται·* Αἰσχυλος (*Pers.* 10); orig. perh. 'storm-raising' or 'dust-raising' mss *μεναίχμαν* [2] *B*: mss *πόλ. στ. ὕλ.*

63

Hephaestion *Handbook of Metre* [on 'unconnectable' metres]: A notable composite too is the double two-and-a-half-foot line known as the encomiologic, which consists of a two-and-a-half-foot dactylic and an iambic of the same length, used by Alcaeus . . . and by Anacreon in several poems, for instance

Warman Ares loves a staunch fighter.

64 [1]

Etymologicum Magnum: ἡμετέρειος is a possessive adjective meaning 'belonging to what is ours'; it was used by Anacreon thus:

neither one of our land nor beautiful

65

Scholiast on Pindar ['when they set about to make a crown for Ilium']: 'crown' is metaphorical for 'wall'; for the walls of a city are as it were its crown; so also Anacreon:

But alas! the crown of the city is destroyed.

66

Choeroboscus on Hephaestion [on the combination of two syllables not separated by a consonant]: Heliodorus in his *Introduction* says that even three syllables coalesce into one, for instance this double two-and-a-half line which resembles an elegiac:

Asteris, neither I love you nor Apelles.

For it is not an elegiac really, but the first part is a dactylic and the second an iambic, since it has two iambic feet and a syllable, so that the words φιλέω οὔ together make a short and one long.

[1] cf. Zon. 990

67

E.M. 433. 44 ἠπεροπευτής· . . . εἶον (*Od.* 11. 364) . . . καὶ παρὰ Ἀνακρέοντι

βούλεται ἠπεροπός <τις> ἡμὶν εἶναι.[1]

68

Ibid. 2. 49 ἀβακής· . . . παρὰ τὸ ἀβακής οὖν γίνεται ἀβακῶ ὥσπερ εὐσεβής εὐσεβῶ· γίνεται δὲ καὶ ἀβακίζω· φησὶν Ἀνακρέων·

. . . . . ἐγὼ δὲ μισέω
πάντας ὅσοι χθονίους ἔχουσι ῥυσμοὺς
καὶ χαλεπούς· μεμάθηκά σ', ὦ Μεγιστῆ,
τῶν ἀβακιζομένων·[2]

ἀντὶ τοῦ τῶν ἡσυχίων καὶ μὴ θορυβωδῶν.

Γ′

69

Stob. *Fl.* 118. 13 [π. θανάτου καὶ ὡς εἴη ἄφυκτος]· Ἀνακρέοντος·

Πολιοὶ μὲν ἡμὶν ἤδη κρόταφοι κάρη τε λευκόν·
χαρίεσσα δ' οὐκέτ' ἥβη πάρα, γηραλέοι τ' ὀδόντες·
γλυκεροῦ δ' οὐκέτι πολλὸς βιότου χρόνος λέλειπται·
διὰ ταῦτ' ἀνασταλύζω θάμα Τάρταρον δεδοικώς.
'Αΐδεω γάρ ἐστι δεινὸς μύχος, ἀργαλῆ δ' ἐς αὐτὸν
κάθοδος. καὶ γὰρ ἑτοῖμον καταβάντι μὴ 'ναβῆναι.

[1] mss ἀπεροπός : τις *B*

67

Etymologicum Magnum: ἠπεροπευτής 'a cheat': . . . compare (*Od.* 11. 364) . . . and Anacreon:

. . . wishes to be a deceiver to us.

68[1]

The Same: ἀβακής 'childlike, innocent' . . . so from ἀβακής comes ἀβακῶ 'to be childlike,' as εὐσεβῶ 'to be pious' from εὐσεβής 'pious'; there is also a form ἀβακίζω; compare Anacreon:

But as for me I hate all those who have secretive and uncompromising ways; I have learnt that you, Megistes, are one of the childlike ones;

meaning quiet and not blustering.[2]

Book III

69

Stobaeus *Anthology* [on death and its inevitability]; Anacreon:

My temples have grown grey and my crown bare and white; graceful youth is no longer with me, and my teeth are the teeth of an old man. There is left me but a short span of sweet life. And so I often make my moan for fear of the underworld. For dire is the dark hold of death, and grievous the way down thither; and more, 'tis sure that once down there's no coming up.

[1] cf. 77, Philem. 135, Cram. *A.P.* 4. 84. 28 [2] more prob. 'frank'

---

[2] ὅσοι *B*: mss οἳ μεμάθηκά σ' ὦ M. *B*-Hemst: mss μεμαθήκασιν ὡς μεγίστη

70, 71, 72

Max. Tyr. 24. 9 ἡ δὲ τοῦ Τηΐου σοφιστοῦ τέχνη τοῦ αὐτοῦ ἤθους καὶ τρόπου· καὶ γὰρ πάντων ἐρᾷ τῶν καλῶν καὶ ἐπαινεῖ πάντας· μέστα δὲ αὐτοῦ τὰ ἄσματα τῆς Σμέρδιος κόμης καὶ τῶν Κλεοβούλου ὀφθαλμῶν καὶ τῆς Βαθύλλου ὥρας· ἀλλὰ κἀν τούτοις τὴν σωφροσύνην ὅρα·[1]

ἔραμαι <δέ> τοι συνηβᾶν· χαρίεν γάρ ἐστί σ' ἦθος·[2]

καὶ αὖθις·

Καλόν ἐστι τοῖς ἐρῶσιν τὰ δίκαια . . .[3]

φησί. ἤδη δέ που καὶ τὴν τέχνην ἀπεκαλύψατο·

ἔμε γὰρ λόγων <μελέων τ'> εἵνεκα παῖδες ἂν φιλοῖεν·[4]

χαρίεντα μὲν γὰρ ᾄδω, χαρίεντα δ' οἶδα λέξαι.[5]

73

Str. 14. 661 [π. Καρῶν]· τοῦ δὲ περὶ τὰ στρατιωτικὰ ζήλου τά τε ὅπλα ποιοῦνται τεκμήρια καὶ τὰ ἐπίσημα καὶ τοὺς λόφους· ἅπαντα γὰρ λέγεται Καρικά· Ἀνακρέων μέν γε φησίν·

Διὰ δηῦτε Καρικουργέος
ὀχάνου χεῖρα τέθειμαι.[6]

74

Heph. 76 [π. τοῦ ἀπ' ἐλάσσονος ἰωνικοῦ]· τὸ δὲ <δίμετρον τὸ> ἀκατάληκτον κατὰ τὸν ἀνακλώμενον χαρακτῆρα πολὺ παρὰ τῷ Ἀνακρέοντί ἐστι·

Παρὰ δηῦτε Πυθόμανδρον
κατέδυν Ἔρωτα φεύγων.

[1] M.'s point is the use of χαρίεις [2] ἐστί σ' Hoff: mss ἔχεις [3] Hoff: mss εἶναι (rightly) and τῷ ἔρωτι [4] μελέων τ' Blass [5] ᾄδω Valck: mss διδῷ [6] mss also ὀχάνοιο: τέθειμαι *E*: mss τιθέναι, τιθέμεναι (or -οι)

70, 71, 72

Maximus of Tyre *Dissertations*: The art of the sophist of Teos is of the same kind and character. He is in love with all who are beautiful and praises them all. His poems are full of the hair of Smerdis, the eyes of Cleobulus, and the youthful bloom of Bathyllus. Yet mark even in this his powers of restraint:

and I long to play with you; you have such pretty ways;

and again:

To be just and fair is a good thing in lovers;

and I am sure he has revealed his art at once in the lines:

For as for me, the children can but love me for my words and my tunes, seeing that I sing pretty things and know how to say pretty things.

73[1]

Strabo *Geography* [on the Carians]: Their bent for things military is indicated, it is said, by our shield-straps, blazons, and plumes, all of which are called Carian. Compare Anacreon:

Lo! through the shield-strap of Carian work have I thrust my hand.

74

Hephaestion *Handbook of Metre* [on the *Ionicum a minore*]: The acatalectic dimeter of 'irregular' type is frequent in Anacreon:

Lo now! I went down to Pythomander's to escape Love.

[1] cf. Eust. 367. 25, 707. 61, *E.G.* 297. 43, Sch. *Il.* 8. 193, *E.M.* 489. 39

75

Ath. 11. 782 a [π. μεῖξιν οἴνου]· ἔθος δ' ἦν πρότερον ἐν τῷ ποτηρίῳ ὕδωρ ἐμβάλλεσθαι, μεθ' ὃ τὸν οἶνον . . . Ἀνακρέων·

Φέρ' ὕδωρ, φέρ' οἶνον, ὦ παῖ,
φέρε <δ'> ἀνθεμεῦντας ἡμὶν
στεφάνους, ἔνικον, ὡς δὴ
πρὸς Ἔρωτα πυκταλίζω.[1]

76

Ibid. 11. 427 a [π. τοῦ αὐτοῦ]· παρὰ δὲ Ἀνακρέοντι εἷς οἴνου πρὸς δύο ὕδατος·

Ἄγε δὴ φέρ' ἡμὶν, ὦ παῖ,
κελέβην, ὅκως ἄμυστιν
προπίω, τὰ μὲν δέκ' ἐγχέας
ὕδατος, τὰ πέντε δ' οἴνου
κυάθους, ὡς ἀνυβριστὶ[2]
ἀνὰ δηὖτε βασσαρήσω.

καὶ προελθὼν τὴν ἀκρατοποσίαν Σκυθικὴν καλεῖ πόσιν·

ἄγε δηὖτε μηκέτ' οὕτω
πατάγῳ τε καλαλητῷ
Σκυθικὴν πόσιν παρ' οἴνῳ
μελετῶμεν, ἀλλὰ καλοῖς
ὑποπίνοντες ἐν ὕμνοις.

77

Sch. Hes. *Th.* 767 [θεοῦ χθονίου]· τὸ δὲ χθονίου ἢ ὑποχθονίου ἢ στυγεροῦ, ὡς Ἀνακρέων·

χθόνιον δ' ἐμαυτὸν ἤγον.[3]

[1] δ' Cas. ἔνικον Fick : mss ἔνεικ. δὴ : mss also μὴ
[2] Baxter : mss ἂν ὑβριστίως [3] mss also ἦρεν

---

[1] cf. Demetr. *Eloc.* 5, Eust. 1322. 53, Orion 62. 31, *E.M.* 345. 39 [2] cf. Cruq. and Porph. Hor. *Od.* 1. 27 (*ex Anacreontis*

75 [1]

Athenaeus *Doctors at Dinner* [on mixing wine]: It was formerly the custom to pour into the cup first the water and then the wine . . . Compare Anacreon:

Bring water, lad, bring wine, bring me garlands of flowers; aye, bring them hither; for I would try a bout with Love.

76 [2]

The Same [on the same]: In Anacreon it is one of wine to two of water:

Come bring me a jar, lad; I want my first-drink; ten ladles of water to five of wine, for I would e'en play the Bacchanal in decent wise;

and proceeding he calls the drinking of wine unmixed a Scythian practice:

Come let us give up this Scythian drinking with uproar and din over our cups, and drink moderately between pretty songs of praise.[3]

77

Scholiast on Hesiod ['of the infernal God']: The word χθόνιος 'infernal' is used for στυγερός 'hateful *or* wretched' as in Anacreon:

and I kept myself secretive.[4]

libro tertio), Ath. 11. 475c, Eust. 1476. 31 [3] the two passages are apparently continuous [4] if the quotation is sound (cf. 68), it is hardly applicable

78

Sch Pind. *O.* 7. 5 [φιάλαν ὡς εἴ τις . . . δωρήσεται νεανίᾳ γάμβρῳ προπίνων]· προπίνειν ἐστὶ κυρίως τὸ ἅμα τῷ κράματι τὸ ἀγγεῖον χαρίζεσθαι· Ἀνακρέων·

. . . ἀλλὰ πρόπινε
ραδινούς, ὦ φίλε, μηρούς·

ἀντὶ τοῦ χαρίζου.

79

E.M. 703. 28 ῥῆγος· τὸ πορφυροῦν περιβόλαιον· ῥέξαι γὰρ τὸ βάψαι . . . ὅτι δὲ ῥαγεῖς ἔλεγον τοὺς βαφεῖς καὶ ῥέγος τὸ βάμμα σαφὲς Ἀνακρέων ποιεῖ·

ἁλιπόρφυρον ῥέγος

80

Procl. Hes. *Op.* 371 [γύνη . . . αἰμύλα κωτίλλουσα]· κωτίλλουσα δὲ σημαίνει ἡδέα λέγουσα· καὶ γὰρ τὴν χελιδόνα κωτίλλειν λέγει, ὅς ἐστι παρὰ Ἀνακρέοντι·

κωτίλη χελιδών

81

Serv. Verg. *Aen.* 1. 749 [Dido . . . longumque bibebat amorem]: Allusit ad convivium ; sic Anacreon

ἔρωτα πίνων

82

Sch. Ap. Rh. 3. 120 μάργος Ἔρως· κατὰ μετωνυμίαν ὁ μαργαίνειν ποιῶν . . . καὶ Ἀνακρέων·

τακερὸς δ' Ἔρως

---

[1] cf. *E.G.* 492. 18, Zon. 1608

78

Scholiast on Pindar ['Even as if one . . . shall make gift of a cup to his daughter's young bridegroom']: *προπίνειν*, 'to drink before *or* to, to pledge,' is properly to make a present of the drinking-vessel along with its contents; compare Anacreon:

Nay, pledge me, friend, thy slender thighs;

where pledge means 'let me have.'

79 [1]

Etymologicum Magnum: *ῥῆγος* 'the purple coverlet'; for *ῥέξαι* is equivalent to *βάψαι* 'to dye' . . . the use of *ῥαγεύς* for *βαφεύς* 'dyer' and *ῥέγος* for *βάμμα* 'dye' is shown by Anacreon's phrase:

dye of sea-purple

80 [2]

Proclus on Hesiod ['a woman . . . with cozening babble']: *κωτίλλουσα* means 'sweetly speaking'; he uses the verb in connexion with the swallow, as Anacreon does:

the babbling swallow

81

Servius on the *Aeneid* ['Dido . . . and drank long love']: metaphor from a drinking-party; so Anacreon

drinking love

82

Scholiast on Apollonius of Rhodes *Argonautica*: 'mad Love':—by 'metonymy' Love that makes mad . . . compare Anacreon

languishing love

[2] cf. Anacreont. 10, Simon 228

82 A

Hdn. π.μ.λ. 1. 14 *ὁ μέντοι Ἀνακρέων καὶ*

χαριτόεις

εἶπεν ἀποδοὺς τὸ ἐντελὲς τῇ λέξει.

83

Phot. 570. 13

Ταντάλου τάλαντα

πλούσιος ὁ Φρὺξ Τάνταλος διεβεβόητο, Πλουτοῦς καὶ Διὸς λεγόμενος· κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Ἀνακρέων ἐν γ'.

Δ'

ΙΑΜΒΩΝ

84

Heracl. *Alleg. Hom.* 4 *καὶ μὴν ὁ Τήϊος Ἀνακρέων ἑταιρικὸν φρόνημα καὶ σοβαρᾶς γυναικὸς ὑπερηφανίαν ὀνειδίζων τὸν ἐν αὐτῇ σκιρτῶντα νοῦν ὡς ἵππον ἠλληγόρησεν οὕτω λέγων·*

Πῶλε Θρηκίη, τί δή με λοξὸν ὄμμασι βλέπουσα
νηλεῶς φεύγεις, δοκεῖς δέ μ' οὐδὲν εἰδέναι σοφόν ;
ἴσθι τοι καλῶς μὲν ἂν τοι τὸν χαλινὸν ἐμβάλοιμι
ἡνίας δ' ἔχων στρέφοιμί <σ'> ἀμφὶ τέρματα
δρόμου.[1]
νῦν δὲ λειμῶνάς τε βόσκῃ κοῦφά τε σκιρτῶσα
παίζεις,
δεξιὸν γὰρ ἱπποπείρην οὐκ ἔχεις ἐπεμβάτην.[2]

[1] σ' *B* [2] *B ἱπποσείρην* needlessly ἔχεις : mss ἕξεις ; perh. ἔχοις *E* : perh. δεξιὸς γὰρ ἱπποπείρης ὢν ἔχω σ' ἀνεμβάτην (= Xen. ἀνάμβατον ; for feminine termination cf. 133) *E* : accepted text requires ἐγὼ in l. 3

82 A

Herodian *Words without Parallel*: But Anacreon gives the word χαρίεις

graceful

the full form χαριτόεις.[1]

83[2]

Photius *Lexicon*:

the talents of Tantalus

The Phrygian Tantalus was famous for his wealth, being reputed the son of Zeus and Pluto; the proverb is used by Anacreon in his third Book.

Book IV

IAMBICS[3]

84

Heracleitus *Homeric Allegories*: Moreover Anacreon of Teos, in finding fault with the airs of a courtesan and the arrogance of a disdainful woman, has compared her skittish disposition to a horse in these lines:

Pray, why do you look askance at me, my Thracian filly, and shun me so resolutely as though I knew nothing of my art? I would have you to know I could bridle you right well and take rein and ride you about the turning-post of the course. But instead you graze in the meadows and frisk and frolic to your heart's content; for you have not a clever breaker to ride you.[4]

[1] cf. *fr.* 70, 72 [2] cf. Apostol. 16. 16, Suid., Ars. 443
[3] I have included trochaics [4] perh. emending text, 'for it is because I am so clever a breaker that I keep you unridden'

85

Heph. 39 [π. τροχαϊκοῦ]· καὶ τῶν ἀκαταλήκτων δὲ τὸ τετράμετρόν ἐστιν ἔνδοξον, οἷον τουτὶ τὸ Ἀνακρέοντος·

Κλυθί μευ γέροντος εὐέθειρα χρυσόπεπλε κοῦρα.[1]

86

Jul. *Misop.* 366 B ἤδη γὰρ, ὡς καὶ ὑμεῖς αὐτοὶ συνορᾶτε, πλησίον ἐσμὲν ἐθελόντων θεῶν,

Εὖτέ μοι λευκαὶ μελαίνῃσ' ἀναμεμείξονται τρίχες

ὁ Τήϊος ἔφη ποιητής.

87

A.P. 13. 4 Ἀνακρέοντος τετράμετρον·

Ἀλκίμων σ', Ὡριστοκλείδη, πρῶτον οἰκτίρω φίλων,
ὠλέσας δ' ἥβην ἀμύνων πατρίδος δουλητίην.

88

Plat. *Theag.* 125 b ΣΩ. τί οὖν ἂν εἰ Εὐριπίδῃ τι προσχρησαίμεθα, ὦ Θέαγες; Εὐριπίδης γάρ πού φησιν· 'Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίαι·' εἰ οὖν ἔροιτό τις τὸν Εὐριπίδην· Ὦ Εὐριπίδη, τῶν τί σοφῶν συνουσίᾳ φῂς σοφοὺς εἶναι τοὺς τυράννους; . . . ἀλλὰ βούλει ἐγὼ σοὶ εἴπω;—ΘΕ. εἰ σὺ βούλει.—ΣΩ. ταῦτ' ἐστὶν ἅπερ ἔφη Ἀνακρέων τὴν Καλλικρίτην ἐπίστασθαι· ἢ οὐκ οἶσθα τὸ ἆσμα;—ΘΕ. ἔγωγε.—ΣΩ. τί οὖν; τοιαύτης τινὸς καὶ σὺ συνουσίας ἐπιθυμεῖς, ἀνδρὸς ὅστις τυγχάνει ὁμότεχνος ὢν Καλλικρίτῃ τῇ Κυάνης καὶ ἐπίσταται τυραννικά, ἅσπερ ἐκείνην ἔφη ὁ ποιητής, ἵνα καὶ σὺ ἡμῖν τύραννος γένῃ καὶ τῇ πόλει;

e. g.[2] ἀλλ' ἐπίσταται τυραννίκ' ἡ Κυάνης Καλλικρίτη.

[1] cf. Theocr. 27. 55, Sch. T. *Il.* 3. 130 (Kehrhahn): mss κούρα [2] *E*

85

Hephaestion *Handbook of Metre* [on the trochaic]: Among the acatalectic forms the tetrameter is a notable metre, for instance Anacreon:

Give ear, thou maid of the lovely tresses and robe of gold, give ear to an old man's prayer.[1]

86

Julian *The Beard-hater*: For already, as you see as well as I do, I am near, save the mark, to the time

When white hairs shall mingle with my black

in the words of the poet of Teos.

87

Palatine Anthology: A tetrameter by Anacreon:

Of all my gallant friends, Aristocleides, I pity thee the most; for in the defence of thy country from slavery thou hast lost thy youth.[2]

88

Plato *Theages*: Socr. Well, shall we make use now of Euripides, Theages? It is he, I think, who says 'Kings know their art through converse with the knowing.' Now suppose someone said to Euripides, knowing in what? . . . Well then, shall I tell you the answer?—Theag. Please do.—Socr. They are knowing in what Anacreon says Callicritè knew. You know the poem, don't you?—Theag. Yes.—Socr. Well? Is the converse *you* want the converse or company of a man who is of the same craft as Callicritè daughter of Cyanè, and knows how to king it or queen it as the poet says that she did, so that you yourself may become a ruler over us and our country?

e. g. Callicritè daughter of Cyanè knows well how to queen it.

[1] prob. to a Muse; cf. Sa. 101 καλλίκομος and Pind. *I.* 6. 75 χρυσόπεπλος [2] an epitaph (metre to suit name)

89

Sch. Soph *Ant.* 134 [ἀντιτύπᾳ δ' ἐπὶ γᾷ πέσε ταναλωθείς]· ὅτι δὲ ταναλωθεὶς σημαίνει τὸ διασεισθείς μαρτυρεῖ καὶ Ἀνακρέων·

<ἐν> μελαμφύλλῳ δάφνῃ χλωρῇ τ' ἐλαίῃ
ταναλίζει.[1]

90

Anon. π. σολοικισμοῦ· σολοίκους δὲ ἔλεγον οἱ παλαιοὶ τοὺς βαρβάρους· ὁ γὰρ Ἀνακρέων φησί·

κοίμισον δ', ὦ Ζεῦ, σόλοικον φθόγγον.

91, 92

Sch. *Il.* 17. 542 [λέων κατὰ ταῦρον ἐδηδώς]· ἡ διακοπὴ τῆς λέξεως τὸν εἰς πολλὰ διεσπασμένον παρέστησε ταῦρον, οὐ τοῦ μέτρου ἀπαιτοῦντος· παρῆν γὰρ φάναι ταῦρον κατεδηδώς· καὶ Ἀνακρέων·

διὰ δέρην ἔκοψε μέσσην·

<καὶ·>

κἀδ δὲ λῶπος ἐσχίσθη.[2]

93

Cram. *A.O.* 1. 288. 3 μεμετρέαται· τοῦτο Ἰωνικόν ἐστιν . . . καὶ Ἀνακρέων·

. . . αἱ δέ μευ φρένες
ἐκκεκωφέαται . . .[3]

[1] mss δάφνᾳ χλωρᾷ and ἐλαίᾳ: perh. therefore not Anacreon; Wil. μελάμφυλλοι δάφναι χλωραί τ' ἐλαῖαι ταντάλιζον (mss also τανταλίζοι) [2] *B* joins these two quotations [3] so *E.M.*: mss here κεκ.

89

Scholiast on Sophocles ['swaying he fell on the unyielding earth']: τανταλωθείς means 'shaken' or 'swaying,' witness Anacreon:

swings amid the dark-leaved laurel and green olive [1]

90 [2]

An Anonymous Writer *On Solecism*: The ancients called barbarous speakers *solecians*; compare Anacreon:

Make cease, O Zeus, the solecian utterance.

91, 92 [3]

Scholiast on the *Iliad* ['a lion that has eaten up a bull']: the severance of the verb 'eaten up' from its prefix is descriptive of the disparted bull, as it is not necessary to the metre; compare Anacreon:

cut through the midst of the neck

and:

the robe was rent right down.[4]

93 [5]

Cramer *Inedita* (*Oxford*): μεμετρέαται 'have been measured':—this form is Ionic; compare Anacreon:

and my senses are stunned.

[1] perh. of a bird [2] cf. Villois. *An.* 2. 77, Eust. *Il.* 366. 2 [3] cf. Cram. *A.P.* 3. 287. 28 [4] both passages illustrate the separation of the verb from the preposition with which it is compounded [5] cf. *E.M.* 322. 22 (δ' ἐμαί)

94

Ath. 11. 498 a [π. σκύφου]· Ἡσίοδος δ' ἐν τῷ β' Μελαμπυδίας σὺν τῷ π σκύπφον λέγει . . . ὁμοίως εἴρηκε καὶ Ἀνακρέων·

ἐγὼ δ' ἔχων σκύπφον Ἐρξίωνι
τῷ λευκολόφῳ μεστὸν ἐξέπινον·

ἀντὶ τοῦ προέπινον.

95

Ibid. 15. 671 e ἐπεὶ περὶ στεφάνων ζητήσεις ἤδη γεγόνασιν, εἰπὲ ἡμῖν τίς ἐστιν ὁ παρὰ τῷ χαρίεντι Ἀνακρέοντι Ναυκρατίτης στέφανος, ὦ Οὐλπιανέ. φησιν γὰρ οὕτως ὁ μελιχρὸς ποιητής·

στεφάνους δ' ἀνὴρ τρεῖς ἕκαστος εἶχεν,
τοὺς μὲν ροδίνους, τὸν δὲ Ναυκρατίτην.

96, 97

Ibid. 12. 533 e [π. τρυφῆς]· Χαμαιλέων δ' ὁ Ποντικὸς ἐν τῷ Περὶ Ἀνακρέοντος προθεὶς τό·

ξανθῇ δ' Εὐρυπύλῃ μέλει
ὁ περιφόρητος Ἀρτέμων·

τὴν προσηγορίαν ταύτην λαβεῖν τὸν Ἀρτέμωνα διὰ τὸ τρυφερῶς βιοῦντα περιφέρεσθαι ἐπὶ κλίνης· καὶ γὰρ Ἀνακρέων αὐτὸν ἐκ πενίας ἐς τρυφὴν ὁρμῆσαί φησιν ἐν τούτοις·

Πρὶν μὲν ἔχων Κερβερίων καλύμματ' ἐσφηκωμένα[1]
καὶ ξυλίνους ἀστραγάλους ἐν ὠσὶ κἄψιλὸν περὶ
πλευρῇσι <δέρμ' ἤει> βοός,[2]
νήπλυτον εἵλυμα κακῆς ἀσπίδος, ἀρτοπωλίσιν
κἀθελοπόρνοισιν ὁμιλέων ὁ πονηρὸς Ἀρτέμων
κίβδηλον εὑρίσκων βίον,[3]

[1] Κερβερίων Schw.-*E*, cf. Hesych. κερβέριος: mss βερβέριον καλύμματ', for pl. cf. Soph. *Aj.* 245 [2] κἄψιλον *E*, cf. Hesych. ἄψιλον· πολύπτερον: mss καὶ ψιλον δέρμ' ἤει *B* (ηει

94

Athenaeus *Doctors at Dinner* [on σκύφος 'a drinking-vessel']: Hesiod in the second Book of the *Melampodia* uses the form with π inserted . . . so also Anacreon:

but as for me, I held the cup and drained it to the white-crested Erxion;

'drained it to him' instead of 'drank it to him.'

95[1]

The Same: Now that our enquiries have turned to garlands, pray tell us, Ulpian, the nature of the 'wreath of Naucratis' mentioned by the charming Anacreon; for that delicious poet says:

and each man had three garlands, of roses two, and the other a wreath of Naucratis.

96, 97

Athenaeus *Doctors at Dinner* [on luxury]: Chamaeleon of Pontus in his book *On Anacreon*, after quoting the lines:

the flaxen-haired Eurypylè's concern is with Litter-rider Artemon;[2]

declares that Artemon received this nickname from his luxurious habit of being carried in a litter. And indeed Anacreon avers in the following passage that he rose from poverty to luxury:

Once he went about in the waspèd-headdress of a Cimmerian, with wooden astragals in his ears, and about his ribs a hairy oxhide that had been the unwashen cover of a wretched shield—the scoundrel Artemon who made a fraudulent living by consorting

[1] cf. Poll. 6. 107 who explains 'Nauer.' as 'of marjoram'
[2] not part of the next poem: for Euryp. cf. *A.P.* 7. 27

---

haplogr. with -ησι)
[3] νήπλυτον Schoem: mss νεέπλουτον, -πλυτον

πολλὰ μὲν ἐν δουρὶ δεθεὶς αὐχένα, πολλὰ δ' ἐν τροχῷ,
πολλὰ δὲ νῶτον σκυτίνῃ μάστιγι θωμιχθείς,[1] κόμην
πώγωνά τ' ἐκτετιλμένος·
νῦν δ' ἐπιβαίνει σατινέων χρύσεα φορέων κάτερματα
πασικύκης,[2] καὶ σκιαδίσκην ἐλεφαντίνην φορεῖ <τῆσιν> γυναιξὶν αὔτως.[3]

98

Heph. 32 [π. ἰαμβικοῦ]· ἔστι δὲ ἐπίσημα ἐν αὐτῷ ἀκατάληκτα μὲν δίμετρα, οἷον τὰ Ἀνακρεόντεια ὅλα ἄσματα γέγραπται (104) . . . τρίμετρα δέ· Ἕστε κ.τ.λ.

Plut. *adv. Stoic.* 20 διψῶντες οὖν ὕδατος οὐκ ἔχουσι χρείαν οὐδὲ ἄρτου πεινῶντες·

Ἕστε ξένοισι μειλίχοις ἐοικότες
στέγης <τε> μοῦνον καὶ πυρὸς κεχρημένοις.[4]

99

Zenob. *Paroem.* 1. 153 φασὶ τοὺς Κᾶρας πολεμουμένους ὑπὸ Δαρείου τοῦ Πέρσου κατά τινα παλαιὰν μαντείαν εἰρημένην αὐτοῖς τοὺς ἀλκιμωτάτους προσθέσθαι συμμάχους ἐλθεῖν εἰς Βραγχίδας καὶ τὸν ἐκεῖ θεὸν ἐρωτῆσαι εἰ Μιλησίους πρόσθοιντο συμμάχους· τὸν δὲ ἀποκρίνασθαι·

Πάλαι κοτ' ἦσαν ἄλκιμοι Μιλήσιοι·[5]

οὗτος δὲ ὁ στίχος εἴρηται τὸ πρότερον παρὰ Ἀνακρέοντι.

[1] νῶτον *B*: mss νῶτα (from πολλὰ) [2] *E*, cf. Alem. 27 Πασιχάρηα: mss παῖς Κύκης: Diod. παΐς Κύκης, Herm. παῖς ὁ Κ. [3] τῆσιν *E* [4] τε Gais: l. 2 not in Heph. [5] another version was ἦσαν ποτ' ἦσαν ἄλκ. M.

with bread-wenches and whores-for-choice, with his neck often bound to the whipping-stock [1] or else to the wheel, and his back often seared with the leathern scourge and his hair and beard plucked out; but now he goes in a coach, wearing earrings of gold like a mix-with-all, and carries an ivory sunshade as though he were a woman.

98

Hephaestion *Handbook of Metre* [on the iambic]: There are notable acatalectic forms of it, whether dimeters such as whole poems of Anacreon (104) . . . or trimeters such as: 'Ye are' etc.

Plutarch *Against the Stoics*: So when they are thirsty they have no need of water, nor when hungry of bread:

Ye are like kind guests who need but roof and fire.

99 [2]

Zenobius *Proverbs*: It is said that the Carians when at war with Darius the Persian, in obedience to an old oracle bidding them take the bravest of men for their allies, went to Branchidae and asked the God there if they should seek alliance with Miletus; whereupon he replied:

There was a time when the Milesians were brave men:

but the line occurs earlier in Anacreon.

[1] according to Poll. 10. 177 fraudulent buyers or sellers in the market were thus treated [2] cf. Sch. Ar. *Pl.* 1002, Vesp. 1063 Philostr. *Vit. Soph.* 1. 22, Diod. *Exc. Vat.* 47, Synes. 228 c, Ath. 12. 523 f.

100

Crusius *Anal. Paroem.* p. 140

ἔκητι Συλοσῶντος εὐρυχωρίη·

Συλοσῶν Σάμιος φίλος ἐγένετο τῷ Δαρείῳ τῷ τῶν Περσῶν βασιλεῖ, καὶ δι' αὐτοῦ τὴν ἐν Σάμῳ δυναστείαν παρέλαβε τελευτήσαντος Πολυκράτους· ἐπεὶ δὲ πικρῶς καὶ χαλεπῶς ἦρχεν, ἐκλιπόντες τὴν νῆσον οἱ πλείους μετῴκησαν· ὅθεν ἡ παροιμία ἐκράτησεν.

101

Hdn. π. ἀκυρολ. Boiss. *A. G.* 3. 263 τὸ δὲ γῆμαι τοῦ γήμασθαι διαφέρει . . . καὶ διασύρων τινὰ Ἀνακρέων ἐπὶ θηλύτητι·

. . . . καὶ θάλαμος ἐν ᾧ
ἐκεῖνος οὐκ ἔγημεν ἀλλ' ἐγήματο.[1]

102

E. M. 522. 47 τὸ δὲ κνύζα, ὡς λέγει Ἡρωδιανός, εἰ μὲν ἐπὶ τοῦ φυτοῦ, συγκοπή ἐστι . . . εἰ δὲ ἐπὶ τοῦ παρεφθαρμένου καὶ ἐρρυπωμένου, οὐ συγκοπή ἐστιν ἀλλ' ἀπὸ τοῦ κνύω· ἀφ' οὗ κνύος ἡ φθορά· γίνεται κνύζα, ὡς παρὰ Ἀνακρέοντι ἐν Ἰάμβοις·[2]

κνυζή τις ἤδη καὶ πέπειρα γίνομαι
σὴν διὰ μαργοσύνην.[3]

103

Zon. 1512 πανδοκεῖον . . . τὸν δὲ μοχλὸν ἐν τῷ χ καὶ Ἀττικοὶ καὶ Δωριεῖς καὶ Ἴωνες πλὴν Ἀνακρέοντος· οὗτος δὲ μόνος σχεδὸν τῷ κ, Ζηνόδοτος δὲ <μόχλον>·

κοὐ μοκλὸν ἐν θύρῃσι διξῇσιν βαλὼν
ἥσυχος κατεύδει.[4]

[1] ἐκεῖνος *E*: mss κεῖνος [2] mss ἰάμβῳ [3] κνυζή: mss also κνίζη, but cf. Hesych. κνυζοί [4] θύρῃσι διξῇσιν *B*: mss οὔρῃσι δίζῃσι

[1] ascription not certain [2] cf. Ammon. 37, Bach. *An.* 2.

100[1]

Select Proverbs:

Thanks to Syloson there's plenty of room:

Syloson of Samos became friendly with the Persian king Darius, and through his means succeeded to the despotism at Samos on the death of Polycrates, but owing to the harshness of his rule most of the inhabitants emigrated. Hence the proverb.

101[2]

Herodian *On Incorrect Speech*: There is a difference between γῆμαι 'to marry' and γήμασθαι 'to give oneself in marriage, be married' . . . Anacreon, ridiculing a man for effeminacy, says:

and the chamber wherein he married not but was married.

102[3]

Etymologicum Magnum: κνύζα, according to Herodian, if it means the plant 'Fleabane,' is a shortening . . . but if it means 'spoilt or defiled' it comes from κνύω 'to scratch'—whence κνύος 'the itch'—; compare Anacreon in the *Iambics*:

I am growing blear-eyed and big because of thy lechery.[4]

103

Zonaras [on πανδοκεῖον 'inn']: . . . the form μοχλός 'bolt' with a χ is used equally in Attic, Doric, and Ionic, save for Anacreon, who is practically alone in spelling it with a κ, though Zenodotus would change it to a χ:

He sleeps untroubled though he never drew bolt in his house-door.[5]

375, *Cod. Vind.* 205, *E.G.* 125. 4, Eust. 1678. 59 [3] cf. Eust. 1746. 13 [4] the subject is fem: the meaning 'blear-eyed' or 'with itching eyes' is more likely than 'defiled' [5] lit. double-door

104

Heph. 32 [*π. ἰαμβικοῦ*]· *ἔστι δὲ ἐπίσημα ἐν αὐτῷ ἀκατάληκτα μὲν δίμετρα οἷον τὰ Ἀνακρεόντεια ὅλα ᾄσματα γέγραπται·*

Ἐρέω τε δηῦτε κοὐκ ἐρέω
καὶ μαίνομαι κοὐ μαίνομαι.

105

Ath. 10. 446 f [*π. τοῦ πίνω*]· *καὶ σὺ οὖν, ὦ ἑταῖρε, κατὰ τὸν Ἄλεξιν, ὃς ἐν Διδύμοις φησί· 'Τούτῳ πρόπιθ' ἵνα καὐτὸς ἄλλῳ' καὶ γένηται ἡ παρ' Ἀνακρέοντι καλουμένη ἐπίστιος· φησὶ γὰρ ὁ μελοποιός·*

μηδ' ὥστε κῦμα πόντιον
λάλαζε τῇ πολυκρότῃ
σὺν Γαστροδώρῃ καταχύδην
πίνοντα τὴν ἐπίστιον.[1]

τοῦτο δ' ἡμεῖς ἀνίσωμά φαμεν.

106

Heph. 32 [*π. ἰαμβικοῦ*]· *καταληκτικὸν δὲ δίμετρον τὸ καλούμενον Ἀνακρεόντειον οἷον·*

ὁ μὲν θέλων μάχεσθαι,
πάρεστι γάρ, μαχέσθω.[2]

107

Prisc. *Metr. Ter.* 3. 427. 20 Keil: Anacreon teste Heliodoro:

Ὦ ῥάνν' ἀεὶ λίην, πολλοῖσι γὰρ μέλεις[3]

hic iambus quartum[4] spondeum habet.

[1] *i. e. ἐφέστιον* sc. *κύλικα* [2] for *γάρ* before imperative cf. 31 and [Sim.] 46 Bgk.: mss *πάρεστι* [3] *B*-Hoff. (= *ἐρανέ*): mss *ὁρᾶν ἀεὶ κ.τ.λ.* [4] so ed. Gaisf, *merum* ed. Keil

104

Hephaestion *Handbook of Metre* [on the iambic]: There are notable acatalectic forms of it, whether dimeters such as whole poems of Anacreon, for instance:

Lo! I both love and love not, and am mad yet not mad.

105

Athenaeus *Doctors at Dinner* [on πίνω 'to drink]: Then, my friend, to quote the *Twins* of Alexis 'Drink you to this man and he to another' and let us have what the lyric poet Anacreon calls a hearth-cup:

and babble not like a wave of the sea, while you quaff the bounteous hearth-cup with the jade Gastrodora [1];

this is what we call the equalisation-cup.

106 [2]

Hephaestion *Handbook of Metre* [on the iambic]: The catalectic dimeter is that known as Anacreontean, for instance:

He that will fight may fight if he will.

107

Priscian *The Metres of Terence*: According to Heliodorus, Anacreon has the line:

O ever too delightful one! for many are they that love thee;

where the iambic line has a spondee in the fourth place.

[1] prob. a comic perversion of *Metrodora* (Wil.) [2] cf. Plot. 270, Sch. Ar. *Pl.* 302 (Ἀνακρέοντος), Sch. Heph., Anacreont. 47. 8, *Ox. Pap.* 220. x. 6

108

E.M. 514. 28 κινάκη· ὁ ἀκινάκης κινάκης παρὰ Σοφοκλεῖ· τὸ μὲν γὰρ Ἀνακρεόντειον χωρὶς τοῦ ι γράφεται· γέγονεν ἔκθλιψις τοῦ ι καὶ κράσει τοῦ ωα

τὠκινάκη

ὥσπερ ὦ Ἄπολλον Ὦπολλον.

109

E. Sorb. ap. *E.M.* 159. 50 ἀστράβη· . . . εἰς Ἀνακρέοντα εἴρηται καὶ

ἀστραφή

καὶ ἐπὶ ὀχήματος ἐφ' οὗ ἀσφαλῶς[1] καθῆνται.

110

Hesych.

αὐτάγητοι

ἀγάμεναι ἑαυτὰς καὶ θαυμαστῶς ἔχουσαι ἑαυτῶν· Ἴων Ἀλκμήνῃ· ἔνιοι δὲ αὐθάδεις. καὶ Ἀνακρέων οὕτω κέχρηται.

111

E.M. 385. 9 ἐσυνῆκεν· Ἀλκαῖος ἐσυνῆκεν· καὶ Ἀνακρέων

ἐξυνῆκεν

πλεονασμῷ.

112

Sch. Ar. Ach. 1133 διὰ τὸ θερμαίνειν οὖν τὸ στῆθος θωρήσσειν λέγουσιν τὸ μεθύειν καὶ

ἀκροθώρηκας[2]

τοὺς ἀκρομεθύσους ἐκάλουν· κέχρηται δὲ τῇ λέξει καὶ Ἀνακρέων· ἔστι δὲ Ἀττική.

[1] perh. ἀστραφῶς, an attempted derivation

[2] mss ἀκροθώρακας

108

Etymologicum Magnum κινάκη 'scimitar': the form is κινάκης in Sophocles. The form used by Anacreon (is not parallel, for it) is written without the ι ('subscript'); there has been ecthlipsis or squeezing-out of the ι, and with crasis of ωα the result is τὠκινάκη

with his scimitar

as in ὤπολλον for ὦ Ἄπολλον 'O Apollo.'

109

Etymologicum Sorbonicum ἀστράβη· . . . in Anacreon it occurs in the form ἀστραφή

saddle

and is used of a chair-saddle in which people sit securely.

110

Hesychius *Glossary* αὐτάγητοι: 'self-admiring, self-marvelling' (women); Ion in the *Alcmena*. Some authorities say it means

stubborn

and it is used so by Anacreon.

111

Etymologicum Magnum ἐσυνῆκεν: Alcaeus uses this form, and Anacreon ἐξυνῆκεν

he understood,

with pleonastic augment.

112[1]

Scholiast on Aristophanes: Because of its warming the breast the phrase 'to put the corslet on' is used meaning 'to be drunk,' and people slightly drunk were called

top-corsleted

an expression used by Anacreon. It is Attic.

[1] cf. Suid. θωρήξασθαι, Zon. 1068

113

E.G. 339. 22 κορώνη· . . . παρὰ τὸ καῦρον, ὃ σημαίνει τὸ κακόν· Ἀνακρέων

κόρωνα βαίνων

φησί.

114

Sch. Ap. Rh. 2. 127 [ἐπιπαμφαλόωντες]· πολλὰ ἐπιβλέποντες καὶ μετ' ἐνθουσιασμοῦ·

παμφαλᾶν

γὰρ τὸ μετὰ πτοιήσεως καὶ ἐνθουσιασμοῦ ἐπιβλέπειν, κέχρηται δὲ τῇ λέξει καὶ Ἱππῶναξ καὶ Ἀνακρέων.

115

Clem. Al. *Paed.* 3. 294 τὸ γὰρ ἁβροδίαιτον τῆς περὶ τὸν περίπατον κινήσεως καὶ τὸ

σαῦλα βαίνειν

ὥς φησιν Ἀνακρέων, κομιδῇ ἑταιρικά.

Ε′

ΕΛΕΓΕΙΩΝ

116

Ath. 11. 463 a [π. συμποσίων]· καὶ ὁ χαριεὶς δ' Ἀνακρέων φησίν·

Οὐ φιλέω ὃς κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πολεμὸν δακρυόεντα λέγει,
ἀλλ' ὅστις Μούσας τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης[1]
συμμίσγων ἐρατῆς μνήσκεται εὐφροσύνης.

[1] *E*: mss Μουσέων τε καὶ ἀγ. δῶρ' Ἀ , impossible order

113

Etymologicum Gudianum: κορώνη 'crow' . . . from καῦρος which means 'bad': compare Anacreon:

stepping with archèd neck

[*i. e.* haughtily].

114

Scholiast on Apollonius of Rhodes *Argonautica* ['glancing fearfully over them']: looking at them hard and excitedly; for παμφαλᾶν

to glance fearfully

is to look at excitedly, and is used by Hipponax and Anacreon.

115

Clement of Alexandria *The Schoolmaster*: For effeminacy of movement in walking about and

to go straddling-wise

in Anacreon's phrase, are altogether marks of the harlot.[1]

Book V

ELEGIACS

116

Athenaeus *Doctors at Dinner* [on drinking-parties]: And the delightful Anacreon says:

I like not him who at his drinking beside the full mixing-bowl tells of strife and lamentable war, but rather one that taketh thought for delightsome mirth by mingling the Muses and the splendid gifts of Aphrodite.

[1] cf. Semon. 18 (Bergk), to whom the *fr.* possibly belongs

117

Heph. 11 [*π. κοινῆς συλλαβῆς*]· *ὅμως μέντοι καὶ ἐν ἔπεσιν εὑρίσκεται, ὡς παρὰ Θεοκρίτῳ . . . καὶ παρ' Ἀνακρέοντι ἐν Ἐλεγείαις·*

οὐδέ τι τοι πρὸς θυμόν, ὅμως γε μένω σ' ἀδοΐαστος.[1]

118

[Long.] *Subl.* 31 . . .[2] *θρεπτικώτατον καὶ γόνιμον τόδ' Ἀνακρέοντος·*

οὐκέτι Θρηϊκίης <πώλου> ἐπιστρέφομαι.[3]

ταύτῃ καὶ τὸ τοῦ Θεοπόμπου ἐκεῖνο ἐπαινετόν· διὰ τὸ ἀνάλογον ἔμοιγε σημαντικώτατα ἔχειν δοκεῖ . . . 'δεινὸς ὤν' φησιν 'ὁ Φίλιππος ἀναγκοφαγῆσαι πράγματα'· ἔστιν ἄρ' ὁ ἰδιωτισμὸς ἐνίοτε τοῦ κόσμου παρὰ πολὺ ἐμφανιστικώτερον· ἐπιγινῴσκεται γὰρ αὐτόθεν ἐκ τοῦ κοινοῦ βίου, τὸ δὲ σύνηθες ἤδη πιστότερον.

119

Ath. 11. 460 c [*π. ποτηρίων*]· *ὁ δὲ Ἀνακρέων ἔφη·*

οἰνοπότης δὲ πεποίημαι.

120

Maced. *A.P.* 10. 70 *οὐδὲ γενοίμην | ἐς κρίσιν ἡμετέρην πικρὸς Ἀριστοτέλης· | τὴν γὰρ Ἀνακρείοντος ἐπὶ πραπίδεσσι φυλάσσω | παρφασίην ὅτι*

δεῖ φροντίδα μὴ κατέχειν.

121

Hyg. *Astr.* 2. 2 hac etiam de causa nonnulli Lyram, quae proxima ei signo (Engonasin) est collocata, Thesei esse

[1] *μένω σ' B*: mss *μὲν ὡς* [2] 4 leaves missing [3] *πώλου B*

117

Hephaestion *Handbook of Metre* [on 'common' syllables]: It is also found in epic metres, for instance in Theocritus . . . and in Anacreon's *Elegiacs*:

Neither is it a thing to your mind, but nevertheless I await you without doubting.

118

[Longinus] *On the Sublime*: . . . Most productive and fruitful [of such an effect?] is this of Anacreon:

I care no more for the Thracian <filly.>[1]

In this respect too this phrase of Theopompus is worthy of praise—it seems to me the analogy makes it most impressive – : 'Philip being adept at eating circumstances as a duty.' You see that the homely phrase is sometimes far more vivid than the embellishment; for it is immediately recognised from everyday life, and we are quicker to believe a thing when it is familliar to us.

119

Athenaeus *Doctors at Dinner* [on cups]: And Anacreon says:

and I am become a wine-bibber.

120

Macedonius: . . . nor would I like rigid Aristotle sit in judgement on myself; for 'tis the counsel of Anacreon that I keep in mind—

let not Care restrain.

121

Hyginus *Astronomics*: For this reason it is said by some authorities that the Lyre, which comes next to that constellation, is the lyre of Theseus, for among his manifold

[1] emendation uncertain

dixerunt, quod ut eruditus omni genere artium lyram quoque didicisse videbatur. idque et Anacreon dicit:

ἀγχοῦ δ' Αἰγείδεω Θησέος ἐστὶ λύρη.

122

Eust. 1329. 34 καὶ μὴν ὁ Ἀνακρέων τὴν τοιαύτην οὐ πάνυ σφοδρῶς ἀλλὰ περιεσκεμμένως πανδοσίαν ὠνείδισε καὶ λεωφόρον καὶ πολύυμνον.

Suid. μυσάχνη· ἡ πόρνη παρὰ Ἀρχιλόχῳ . . . Ἀνακρέων δὲ πανδοσίαν καὶ λεωφόρον καὶ μανιόκηπον.

e. g. Πανδοσίη, πολύυμνε, λεωφόρε, μηλινόκηπε[1]

123

Hesych.

Αἰθοπίης παῖδα[2]

τὸν Διόνυσον· Ἀνακρέων. ἄλλοι τὸν οἶνον, ἄλλοι τὴν Ἄρτεμιν.

124

Sch. *Il.* 19. 21 [τὰ μὲν ὅπλα θεὸς πόρεν, οἳ' ἐπιειτὲς | ἔργ' ἔμεν ἀθανάτων, μηδὲ βρότον ἄνδρα τελέσσαι]· ἐν ἑαυτῷ τὸ πρᾶγμα τὴν ὑπερβολὴν ἔχον ὑπεροχὴν οὐκ ἐπιδέχεται μείζονα. καὶ Ἀνακρέων·

κωμάζει δ' ὡς Δεόνυσος[3]

αὐτὸν αὑτῷ συγκρίνας.

[1] *E*: for μηλινόκηπε cf. Ar. *Lys.* 155, Theocr. 27, 49: μανιόκηπε in the meaning proposed (presuming an adj. μάνιος) is perh. unlikely in A. [2] *L*, cf. Sa. 143: mss αἰθιοπεῖς π. [3] Maass: mss δὲ ὡς ἂν δεῖ Διόνυσος

accomplishments he seems to have been skilled in the lyre. And Anacreon says the same :

The lyre is near to Aegid Theseus.[1]

122[2]

Eustathius on the *Iliad* : Moreover Anacreon calls such a woman quite coolly 'all-given' and 'people-trodden,'[3] and 'sung-of-many.'

Suidas *Lexicon* μυσάχνη : 'harlot' in Archilochus . . . Anacreon calls her 'all-given' and 'people-trodden,' and (mad-tail ?[4])

e. g. All-given, sung-of-many, people-trodden, apple-orchard

123

Hesychius *Glossary* :

Son of Aethopia

that is 'Dionysus' ; Anacreon. Some authorities say that Aethopia means 'wine,' others 'Artemis.'[5]

124

Scholiast on the *Iliad* ['the arms the God hath given are such as the work of immortals should be and as no mortal man should have made'] : Since the fact is of its nature an hyperbole it admits of no extension ; compare Anacreon ;

he revels as Dionysus revels

where Dionysus is compared with himself.

[1] Mein. perh. rightly ascribes this line to a later Anacreon who wrote *Astronomica* [2] cf. Ibid. 1921. 61 (where all four are given), 1088. 38, 862. 45, 1572. 13 (where μεν. is ascribed to a comic poet) [3] epithet of a highway [4] see opp. [5] cf. Sappho 143

125

Ath. 1. 11f [π. τροφῶν]· παρ' ὅλην δὲ τὴν συνουσίαν παρεκεῖντο αἱ (Τηλεμάχου) τράπεζαι πλήρεις, ὡς παρὰ πολλοῖς τῶν βαρβάρων ἔτι καὶ νῦν ἔθος ἐστί

κατηρεφέες παντοίων ἀγαθῶν [1]

κατὰ Ἀνακρέοντα.

126

Greg. in Hermog. *Rh. Gr.* 7. 1256 Walz αἰσχρῶς μὲν κολακεύει τὴν ἀκοὴν ἐκεῖνα, ὅσα ἐστὶν ἐρωτικά· οἷον τὰ Ἀνακρέοντος, τὰ Σαμφοῖς· οἷον γάλακτος λευκοτέρα, ὕδατος ἁπαλωτέρα, πηκτίδων ἐμμελεστέρα, ἵππου γαυροτέρα, ῥόδων ἁβροτέρα, ἱματίου ἑάνου μαλακωτέρα, χρυσοῦ τιμιωτέρα.

127 [2]

Hesych.

ἄμιθα

ἔδεσμα ποιὸν καὶ ἄρτυμα· ὡς Ἀνακρέων.

128

Eust. 1538. 50 [*Od.* 5. 313] ὅθεν

ἀνήλατος

φασὶ παρ' Ἀνακρέοντι ὁ ἀπειθής, ἀπὸ ὑποζυγίων.

129

Ath. 4. 182f τὸν γὰρ βίρωμον καὶ βάρβιτον, ὧν Σαπφὼ καὶ Ἀνακρέων μνημονεύουσι, καὶ τὴν μάγαδιν καὶ τὰ τρίγωνα καὶ τὰς σαμβύκας ἀρχαῖα εἶναι.

[1] perh. τράπεζαι | παντοίων ἀγαθῶν κεῖντο κατηρεφέες *E*
[2] cf. Heysch. σαμίθη

125

Athenaeus *Doctors at Dinner* [on meals]: Telemachus' tables remained before the guests full during the whole of the entertainment as is still the custom among many Barbarian nations,

overspread with all manner of good things

as Anacreon says.[1]

126[2]

Gregorius on Hermogenes: The ear is improperly flattered by this figure when it is erotic in character, I mean as it is used by Sappho and Anacreon; for instance 'as white as milk,' 'as soft as water,' 'as tuneful as the lyre,' 'as skittish as a mare,' 'as delicate as a rose,' 'as soft as a fine robe,' 'as precious as gold.'[3]

127

Hesychius *Glossary*: ἄμιθα:—a kind of eatable or sauce mentioned by Anacreon.

128

Eustathius on the *Odyssey*: Whence is said to come Anacreon's use of ἀνήλατος to mean:

disobedient,

from beasts of burden.

129[4]

Athenaeus *Doctors at Dinner* [on stringed instruments]: The *barōmus* and the *barbitus* mentioned by Sappho and Anacreon, as well as the *magadis* and the *trigōnon* and the *sambuca*, are all ancient.

[1] cf. *Od.* 1. 138 [2] cf. Sa. 59 [3] the adjectives are fem.
[4] cf. Ibid. 175 d

130

Poll. 3. 50 Ἀνακρέων δὲ

δίτοκον

τὴν δὶς τεκοῦσαν.

131

Ibid. 3. 98 μετοχαὶ δὲ τέρπων ἀλλὰ καὶ ἔτερψεν· τὸ γὰρ ἥδων Ἰωνικὸν καὶ τὸ

ἥσε

σπάνιον μὲν παρ' ἡμῖν, Ἀνακρέων δὲ αὐτὸ εἴρηκεν, Ἴων καὶ ποιητὴς ἀνήρ.

132

Poll. 5. 96 [π. τὰ κεφαλῆς κοσμήματα γυναικεῖα]· σὺ δ' ἂν προσθείης . . . καὶ

κάλυκας

παρ' Ὁμήρου τε καὶ Ἀνακρέοντος.

133

Ibid. 2. 103 πτύσμα . . . τὰ δὲ ἀπ' αὐτοῦ ὀνόματα πτύειν, ἀποπτύειν, καταπτύειν, κατάπτυστον, ἀπόπτυστον· Ἀνακρέων δὲ καὶ

καταπτύστην

εἴρηκε.

134

Sch. Aesch. *Pers.* 42 [ἁβροδιαίτων Λύδων]· ἁβροδίαιτοι δὲ οὗτοι ὅθεν καὶ τὸ παρὰ Ἀνακρέοντι·

Λυδοπαθεῖς τινες

ἀντὶ τοῦ ἡδυπαθεῖς.

130

Pollux *Vocabulary*: Anacreon uses δίτοκος to mean her

that has twice brought forth

131

The Same: The participles are τέρπων 'pleasing'—and there is the aorist ἔτερψεν 'he pleased'—; ἥδων 'pleasing,' which is Ionic; and the aorist ἧσε

he pleased

though rare with us, occurs in Anacreon who was an Ionian and a poet.

132

The Same [on women's head-adornments]: And you might add . . . the

flower-cups

used by Homer and Anacreon.

133

The Same: πτύσμα 'spittle' . . . the words that come from it are πτύειν 'to spit,' ἀποπτύειν 'to spit out,' καταπτύειν 'to spit upon,' κατάπτυστος 'contemptible,' ἀπόπτυστος 'detestable'; Anacreon uses the separate feminine form καταπτύστη

contemptible

134[1]

Scholiast on Aeschylus ['soft-living Lydians']: They live softly, whence Anacreon's phrase:

Lydian-like persons

meaning 'luxurious.'

[1] cf. Ath. 15. 690 c, Eust. 1144. 14

135

Str. 14. 633 [π. Ἰωνίας]· Τέω δὲ Ἀθάμας μὲν πρότερον (ἔκτισεν), διόπερ

Ἀθαμαντίδα

καλεῖ αὐτὴν Ἀνακρέων.

136

Poll. 6. 21 ἀπὸ δὲ οἴνου . . . καὶ οἰνοπότης καὶ

οἰνοπότις

γυνή ὡς Ἀνακρέων.[1]

137

Ibid. 6. 23 καὶ

οἰνηρὸς θεράπων

παρὰ Ἀνακρέοντι.

138

Hesych. γυναῖκες εἰλίποδες· . . . καὶ Ἀνακρέων

πλέξαντες μηροῖς πέρι μηρούς[2]

139

Sch. Ap. Rh. 3. 106 [τῆς δ' Ἥρη ῥαδινῆς ἐπεμάσσατο χειρός]· ῥαδινῆς· τρυφερῆς, Ἀνακρέων δὲ ἐπὶ τάχους ἔταξε τὸ ῥαδινόν·

ῥαδινοὺς πώλους

140

Choer. 2. 555 σημειούμεθα παρὰ τῷ ποιητῇ τό· 'τά μοι ῥερυπωμένα κεῖται' (*Od.* 6. 59) . . . καὶ τό

ῥεραπισμένα νῶτα[3]

παρὰ τῷ Ἀνακρέοντι.

[1] cf. 119 [2] *B*: mss περὶ μηροῖσι παρὰ μηρόυς [3] mss -μένα (or -μένος) νῶ, -μένω νώτω (or -τον), -μένων ὤτων

135

Strabo *Geography* [on Ionia]: The first founder of Teos was Athamas, and that is why Anacreon calls it

Athamantid

136

Pollux *Vocabulary*: From οἶνος 'wine' . . . οἰνοπότης 'wine-bibber,' and οἰνοπότις

wine-bibbing woman

in Anacreon.

137

The Same: And

wine-server

in Anacreon.

138

Hesychius *Glossary*: γυναῖκες εἰλίποδες 'shambling women' . . . and Anacreon says:

twining thigh with thigh

139

Scholiast on Apollonius of Rhodes *Argonautica* ['Hera clasped her soft hand']: ῥαδινῆς 'soft, tender'; but Anacreon uses it to mean 'swift'[1]:

slender colts

140[2]

Choeroboscus on Theodosius *Canons*: We remark in Homer the phrase 'the soiled clothes which I have by me' . . . and in Anacreon

befloggèd back

[1] the explanation is hardly correct [2] cf. Bek. *An.* 3. 1287, Cram. *A.O.* 4. 415. 4, 185. 17, Hdn. Ald. *Corn.* 194, Sch. *Od.* 6. 59

141

Serv. Verg. *Aen.* 11. 550 [‘caroque oneri timet’]: Anacreon

φόρτον ἔρωτος,[1]

id est *onus amoris.*

142

Sch. Ap. Rh. 1. 789 [καλῆς διὰ παστάδος]· . . . καλῆς δὲ ἤτοι ὅτι βασίλεια τὰ οἰκήματα ἢ ὅτι ἐρωτικά· τοιαῦτα γὰρ τὰ τῶν ἐρωμένων. ὡς καὶ Ἀνακρέων ἐπὶ ἐρωμένης φησίν· . . .

143

Poll. 6. 107 Ἀνακρέων δὲ καὶ μύρτοις στεφανοῦσθαί φησι καὶ κυριάννοις καὶ λύγῳ[2] καὶ Ναυκρατίτῃ[3] στεφάνῳ· σάμψυχος οὗτος ἦν· καὶ ἀνήτῳ, ὡς καὶ Σαπφὼ καὶ Ἀλκαῖος.

144

Him. *Or.* 3. 3 [πρὸς Βασίλιον]· Χαῖρε φίλον φάος χαρίεντι μειδιόων προσώπῳ· μέλος γάρ τι λαβὼν ἐκ τῆς λύρας εἰς τὴν σὴν ἐπιδημίαν προσάσομαι, ἡδέως μὲν ἂν πείσας καὶ αὐτοὺς τοὺς λόγους λύραν μοι γενέσθαι καὶ ποίησιν, ἵνα τι κατὰ σοῦ νεανιεύσωμαι, ὁποῖον Σιμωνίδης ἢ Πίνδαρος κατὰ Διονύσου καὶ Ἀπόλλωνος. ἐπεὶ δὲ ἀγέρωχοί τε ὄντες καὶ ὑψαυχένες ἄφετοί τε καὶ ἔξω μέτρων ἀθύρουσιν, ὀλίγα παρακαλέσας τὴν ποίησιν δοῦναί μοί τι μέλος Τήϊον· ταύτην γὰρ φιλῶ τὴν Μοῦσαν· ἐκ τῶν ἀποθέτων τῶν Ἀνακρέοντος τοῦτόν σοι φέρων τὸν ὕμνον ἔρχομαι, καί τι καὶ αὐτὸς προσθεὶς τῷ ἄσματι· Ὦ φάος Ἑλλήνων καὶ τῶν ὅσοι Παλλάδος ἱερὸν δάπεδον Μουσάων τε ἄλση νεμόμεθα . . .

[1] *B*, cf. *Batr.* 78, Nonn. 4. 118: mss *φορτίον ἔρ.* [2] *B*, cf. 45: mss *αὐτῷ* [3] cf. 95

[1] Europa on the bull? [2] quotation apparently lost

141

Servius on the *Aeneid* ['and fears for his dear burden' Camilla]: Compare Anacreon:

a burden of love [1]

142

Scholiast on Apollonius of Rhodes *Argonautica* ['through the beautiful sleeping-chamber']: . . . 'beautiful' either because the room was royal, or because it was connected with love; for that is how we speak of what belongs to our beloved. So Anacreon of the woman he loved. . . . [2]

143

Pollux *Vocabulary*: According to Anacreon they used to crown themselves with myrtle, and coriander, and willow; and with the wreath of Naucratis, which was marjoram; and also with anise, which is mentioned both by Sappho and by Alcaeus.

144

Himerius *Declamations* [to Basilius]: Hail! dear light that smilest with so fair a face; for I will take a tune from the lyre to sing in honour of your visit, and though I would rather prevail upon the actual words to be my lyre and poesy so that I might sing you some wanton thing such as Simonides or Pindar sang to Dionysus and Apollo, I will content myself, since the words are proud and haughty and unmanageable and frisk it outside the limits of metre, with inviting Poesy to give me some tune of Teos, which is a Muse I love, and bring you this song of praise from the stores of Anacreon,[3] adding to it something of my own: O light of Greece and of all us who dwell in the holy plain of Pallas and the groves of the Muses . . .

[3] or omit as a gloss 'from the rejected or apocryphal poems of A.'

145

Ibid. 4. 3 [πρὸς Κερβώνιον]· φέρε οὖν, ἐπειδὴ καὶ ἡμᾶς, ὦ παῖδες, ὥσπερ τις θεός, ὅδε ὁ ἀνὴρ φαίνει, οἵους ποιηταὶ πολλάκις εἰς ἀνθρώπων εἴδη μορφάς τε ποικίλας ἀμείβοντες πόλεις τε εἰς μέσας καὶ δήμους ἄγουσιν 'ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντας,'[1] οἷαν Ὅμηρος μὲν Ἀθηνᾶν, Διόνυσον δὲ Ἀνακρέων Εὐριπίδης τε ἔδειξαν . . .

146

Zenob. *Paroem.* 1. 123 Μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ· μέμνηται ταύτης Ἀνακρέων· καὶ Πίνδαρος ἐν Νεμεονίκαις· φασὶ δὲ αὐτὴν ὑπὸ Ἡφαίστου γενομένην δῶρον Πηλεῖ σωφροσύνης ἕνεκα παρὰ θεῶν δοθῆναι. ᾗ χρώμενος πάντα κατώρθου καὶ ἐν ταῖς μάχαις καὶ ἐν ταῖς θήραις.

147

Fulg. *Myth.* 1. 25: Iuppiter enim, ut Anacreon antiquissimus auctor scripsit, dum adversus Titanas, id est Titani filios qui frater Saturni fuerat, bellum adsumeret et sacrificium Caelo fecisset, in victoriae auspicium aquilae sibi adesse prosperum vidit volatum. Pro quo tam felici omine, praesertim quia et victoria consecuta est, in signis bellicis sibi aquilam auream fecit, tutelaeque suae virtuti dedicavit, unde et apud Romanos huiuscemodi signa tracta sunt.

148

Sch. Hor. *Od.* 4. 9. 9 [nec si quid olim lusit Anacreon | delevit aetas]: Anacreon satiram scripsit, amicus Lysandri.[2] alii dicunt quod scripsit Circen et Penelopen 'in uno laborantes.'

[1] *Od.* 17. 487: mss here ἐφέποντας [2] perh. *in inimicum Lysandrum*

[1] cf. Ars. 351, *Paroem.* Miller *Mél.* 366 [2] perh. belongs

145

The Same [to Cerbonius]: Come then, my children, since this man illumines us like a God such as poets clothe in mortal guise and various shapes and bring into towns and cities 'to note the lawlessness or orderliness of man,' such as Homer makes Athena, and Anacreon and Euripides make Dionysus . . .

146[1]

Zenobius *Proverbs*: 'Prouder than Peleus of his sword': — this proverb is mentioned by Anacreon and by Pindar in his *Nemeans* (4. 95); it is said that the sword was made by Hephaestus and given to Peleus by the Gods because of his virtuous behaviour, and by using it he always succeeded whether in battle or the chase.

147

Fulgentius *Mythologics*: For according to Anacreon, a most ancient authority, when Zeus took arms against the Titans— that is the sons of Titan brother of Saturn or Cronus—and had made sacrifice to Heaven, he saw an eagle fly in such a way as to make a favourable omen of his victory; and for this happy augury, and the more because it was followed by victory, he made a golden eagle upon his war-standards, and consecrated it as a protection to his valour; whence are derived the Roman standards of the like sort.[2]

148

Scholiast on Horace ['nor has Time destroyed the playful work of old Anacreon']: Anacreon wrote a satire (on his enemy Lysander?). Some authorities say that he wrote the story of Circe and Penelope 'loving the same man.'[3]

to a later Anacreon [3] Hor. Od. 1. 17. 18 *et fide Teïa | dices laborantes in uno | Penelopen vitreamque Circen;* A. evidently wrote a well-known poem on this theme

149

A.P. 7. 226 Ανακρέοντος Τηΐου εἰς Ἀγάθωνα στρατιώτην ἐν Ἀβδήροις·

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα
πᾶσ' ἐπὶ πυρκαϊῆς ἤδ' ἐγόησε πόλις·[1]
οὕτινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
ἠνάρισε στυγερῆς ἐν στροφάλιγγι μάχης.

150

Ibid. 7. 160 εἰς Τιμόκριτον ἀριστεύσαντα· Ἀνακρέοντος·

Κάρτερος ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σῆμα·
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται ἀλλὰ κακῶν.

151

Ibid. 6. 134 ἀνάθημα Ἀνακρέοντος·

Ἡ τὸν θύρσον ἔχουσ' Ἑλικωνιάς, ἥ τε παρ' αὐτὴν
Ξανθίππη, Γλαύκη τ' ἡ 'ς σχερὸν[2] ἐρχομένη
ἐξ ὄρεος χωρεῦσι, Δεωνύσῳ δὲ φέρουσι
κισσὸν καὶ σταφυλὴν πίονα καὶ χίμαρον.[3]

152

Ibid. 135 ἀνάθημα τῷ Διὶ παρὰ Φειδόλα· τοῦ αὐτοῦ·

Αὗτα Φειδόλα ἵππος ἀπ' εὐρυχόροιο Κορίνθου
ἄγκειται Κρονίδᾳ μνᾶμα ποδῶν ἀρετᾶς.[4]

[1] Wakefield: mss ἐβό. π. [2] *E* (Thewrewk θ' ἡ 's): mss εἰς χορὸν, ἡ σχεδὸν: *B* ἐνσχερὼ [3] mss Διωνύσῳ [4] αὗτα *E*, cf. Paus: mss οὗτος

---

[1] cf. Suid. προθανόντα, ἠνάρισεν [2] this and the following inscriptions must have either formed part of a collection

149[1]

Palatine Anthology[2]: Anacreon of Teos on the soldier Agathon, at Abdera:

The doughty Agathon who died for Abdera, was mourned at his pyre by all this town; for blood-loving Ares never slew in the whirl of hateful battle such a youth as he.

150

The Same: On Timocritus for distinguished valour; by Anacreon:

This is the tomb of Timocritus, a staunch man in the wars; for it is the craven, not the brave, that are spared by Ares.

151

The Same: A dedication; by Anacreon:

She with the thyrse is Heliconias, she next her Xanthippè, and she that is joining the others Glaucè; and they come from the hill with ivy and a fat bunch of grapes and a kid for Dionysus.[3]

152

The Same: A dedication to Zeus by Pheidolas; by the same:

This mare of Pheidolas from spacious Corinth is set up as a memorial of the prowess of her legs.[4]

of A.'s works made by himself, or been collected from later unsigned monuments; if the latter, they are not certainly his [2] title of dedicatory picture or plaque [4] cf. Paus. 6. 13. 5 ἡ ἵππος . . . ὄνομα μὲν . . . ἔχει Αὔρα, 'the mare's name was *Breeze*'; she lost her rider and won by herself

153

Ibid. 136 *ἀνάθημα τοῦ αὐτοῦ·*

Πρηξιδίκη μὲν ἔρεξεν, ἐβούλευσεν δὲ Δύσηρις
εἷμα τόδε· ξυνὴ δ' ἀμφοτέρων σοφίη.

154

Ibid. 137 *ἀνάθημα τῷ Ἀπόλλωνι παρὰ Ναυκράτους τοῦ αὐτοῦ·*

Πρόφρων, ἀργυρότοξε, δίδου χάριν Αἰσχύλου υἱῷ
Ναυκράτει εὐχώλας τάσδ' ὑποδεξάμενος.

155

Ibid. 138 *τοῦ αὐτοῦ·*[1]

Πρὶν μὲν Καλλιτέλης μ' ἱδρύσατο· τόνδε δ' ἐκείνου
ἔκγονοι ἐστήσαντ' οἷς χάριν ἀντιδίδου.[2]

156

Ibid. 139 *ἀνάθημα παρὰ Πραξαγόρα τοῦ αὐτοῦ·*

Πραξαγόρας τάδε δῶρα θεοῖς ἀνέθηκε Λυκαίου
υἱός· ἐποίησεν δ' ἔργον Ἀναξαγόρας.

157

Ibid. 140 *ἀνάθημα παρὰ Μελάνθου τῇ Σεμέλῃ τοῦ αὐτοῦ·*

Παιδὶ φιλοστεφάνῳ Σεμέλας <μ'> ἀνέθηκε Μέλανθος
μνᾶμα χόρου νίκας υἱὸς Ἀρηϊφίλου.[3]

[1] lemma adds (incorrectly) *ὁμοίως i. e. ἀνάθημα τῷ Ἀπόλλωνι*
[2] *ἐστήσαντ'*: mss *ἔστασαν*, stone *ἔστησαν* [3] μ' Heck : *φιλοστεφάνῳ* Barnes : mss *-νου*

153[1]

The Same: A dedication; by the same:

This robe was made by Praxidicè and designed by Dysēris: the art of it is common to them both.

154

The Same: A dedication to Apollo by Naucrates; by the same:

Lord of the Silver Bow, hearken to these prayers, and give thy gracious thanks to Naucrates son of Aeschylus.

155

The Same: By the same:

I was first set here in effigy by Calliteles; this later image of me is put up by his children, to whom give thou thanks.[2]

156[3]

The Same: A dedication by Praxagoras; by the same:

These gifts to the Gods are the offering of Praxagoras son of Lycaeus, and the work of Anaxagoras.

157

The Same: A dedication by Melanthus to Semelè; by the same:

I was set up to the garland-loving son of Semele by Melanthus son of Areïphilus in memory of the victory of his chorus.

[1] cf. Suid. εἶμα, Sim. 24 [2] a herm with what appears to be an incorrect restoration (omitting μ') of this inscr., in etters dating 460–445, has been found at Athens, *C. I. A.* 1. 381 [3] cf. Paus. 5. 23. 3

158

Ibid. 141 *ἀνάθημα τῇ Ἀθηνᾷ τοῦ αὐτοῦ·*

Ῥυσαμένη Πύθωνα δυσηχέος ἐκ πολέμοιο
ἀσπὶς Ἀθηναίας ἐν τεμένει κρέμαμαι.[1]

159

Ibid. 142 *ἀνάθημα τῷ Διονύσῳ· τοῦ αὐτοῦ·*

Σάν τε χάριν, Διόνυσε, καὶ ἀγλαὸν ἄστεϊ κόσμον
Θεσσαλίας μ' ἀνέθηκ' ἀρχὸς Ἐχεκρατίδας.

160

Ibid. 143 *ἀνάθημα τῷ Ἑρμῇ παρὰ Τιμώνακτος· τοῦ αὐτοῦ·*

Εὔχεο Τιμώνακτι θεῶν κήρυκα γενέσθαι
ἤπιον, ὅς μ' ἐρατοῖς ἀγλαΐην προθύροις
Ἑρμῇ τε κρείοντι κατέσσατο· τὸν δ' ἐθέλοντα
ἀστῶν καὶ ξείνων γυμνασίῳ δέχομαι.

161

Ibid. 6. 346 *Ἀνακρέοντος·*

Τελλίᾳ ἱμερόεντα βίον πόρε, Μαιάδος υἱέ,
ἀντ' ἐρατῶν δώρων τῶνδε χάριν θέμενος·
δὸς δέ μιν εὐθυδίκων Εὐωνυμέων ἐνὶ δήμῳ
ναίειν αἰῶνος μοῖραν ἔχοντ' ἀγαθῆς.[2]

[1] *B* sugg. cf. *A P.* 6. 264. 2 : mss *-ται* Ἀθηναίας Stadtm : mss *-ης* [2] Τελλίᾳ Reis : mss τε λαιαι : *B* Τέλλιδι ἀγαθῆς Barnes : mss *-ὴν*

158[1]

The Same: A dedication to Athena; by the same:

I who hang here in the precinct of Athena am the shield which brought Python safe home from ill-sounding war.

159

The Same: A dedication to Dionysus; by the same:

To thy honour, Dionysus, and as a fine adornment of the city was I set up by Echecratidas lord of Thessaly.[2]

160

The Same: A dedication to Hermes by Timōnax; by the same:

Pray you that the Herald of the Gods be kind to Timonax, who set me up to the Lord Hermes as an adornment of the pretty porch; I receive into my gymnasium any who will come, friend or stranger.

161

The Same: Anacreon:

In gratitude for these pretty gifts, O Son of Maia, send Tellias a life to be desired, and grant he may dwell among the upright-ruling people of Euonymia[3] enjoying the lot of happy days.[4]

[1] cf. Suid. *δυσηχής* [2] cf. Thuc. 1. 111 [3] a deme of Attica [4] inscr. for a statue of Hermes (set up by a resident-alien outside his house, Wil.)

162

Ibid. 7. 263 *εἰς Κλεηνορίδην ἰαμηγήσαντα· Ἀνακρέοντος Τηΐου·*

Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ·
ὥρη γάρ σε πέδησεν ἀνέγγυος· ὑγρὰ δὲ τὴν σὴν
κύματ' ἀπ' ἰμερτὴν ἔκλυσεν ἡλικίην.

163

Bek. *An.* 1. 373. 28

ἀκταινῶσαι

ἀντὶ τοῦ ὑψῶσαι καὶ ἐξᾶραι καὶ μετεωρίσαι· πεποίηται δὲ οὕτως· ἔστι δένδρον ὃ καλεῖται ἀκτῆ ἀφ' οὗ τὰ ἀκόντια τέμνεται. οὕτως Ἀνακρέων.

164

Eust. 932. 1 [*Il.* 13. 281 *ἐπ' ἀμφοτέρους πόδας ἵζει*]· καὶ ὅτι τοὺς οὕτως ἵζοντας ἐπ' ἀμφοτέρους πόδας καὶ γονυκρότους τηνικαῦτα δριμέως ἐστὶ προσειπεῖν, καθὰ καὶ οἱ παλαιοὶ δηλοῦσιν, ἐν οἷς φασιν ὅτι

γονύκροτοι

οἱ βλαισοί· Ἀνακρέων δὲ κέχρηται ἐπὶ δειλῶν.

165

Ap. *Adv.* Bek. *An.* 2. 572. 14 *τούτοις δὴ ἐπιστήσας ὁ Τρύφων ἐζήτει περὶ τοῦ μεγαλωστί,*

ἰρωστί

παρὰ Ἀνακρέοντι.

---

[1] perh. to be ascribed to Leonidas of Tarentum [2] this

162

The Same : On Cleënorides lost at sea ; by Anacreon [1] :

Thou too, Cleënorides, didst put thy trust in the wintry blast of the Southwind and wast slain by thy love of thy home ; for the season with whom is no covenanting had kept thee fast, and now the wet waves have washed away thy pleasant youth.

163

Bekker *Incdita* : ἀκταινῶσαι

to uplift

meaning to raise, to lift, to elevate ; and it is formed thus :— there is a tree called ἀκτέα or ἀκτῆ 'elder,' from which they make darts [2] ; so Anacreon.

164

Eustathius on the *Iliad* ['sits on both feet'] : because people who sit thus on both feet can be called sarcastically knock-kneed, as is shown by the ancient writers where they say that crooked-legged people are

knock-kneed

but Anacreon uses the word of cowards.

165 [3]

Apollonius *Adverbs* [on adverbs in -στί] : With this in view Tryphon investigated the forms μεγαλωστί 'greatly' and ἱρωστί

sacredly

in Anacreon.

derivation is doubtful [3] cf. Sch. *Il.* 18. 25, Semon. 24 (Bergk), to whom it perhaps belongs

166

Eust. 1654. 17 ἔστι φῶ τὸ λέγω, οὗ μετοχὴ ἀόριστος φάσας· ὡς κλῶ κλάσας· καὶ συγκοπῇ φάς, οἷον . . . ὥσπερ καὶ

κλάς

φησὶ (Ἡρακλείδης) παρὰ Ἀνακρέοντι.

167

E.M. 707. 50 καὶ

σαλαΐζειν [1]

Ἀνακρέων ἐπὶ τοῦ θρηνεῖν.

168

Sch. *Il.* 13. 227 [νωνύμνους ἀπολέσθαι]· τινὲς ἀθρηνήτους·

ὕμνον

γὰρ καὶ Ἀνακρέων τὸν θρῆνόν φησιν.

169

Hdn. *π. μον. λέξ.* 11. 26

Φίλλος

παρὰ Ἀνακρέοντι τὸ ὄνομα.

[1] mss also σαλαμβίζειν

166

Eustathius on the *Odyssey*: φῶ is equivalent to λέγω 'to say,' and has an aorist participle φάσας—as κλῶ has κλάσας—by shortening, φάς, as . . . just as Heracleides quotes the form κλάς

having broken off

from Anacreon.

167 [1]

Etymologicum Magnum: And σαλαΐζειν is used by Anacreon meaning

to wail

168

Scholiast on the *Iliad* ['perish unpraised']: according to some authorities, 'unlamented'; Anacreon uses ὕμνος

song of praise

to mean a dirge.

169 [2]

Herodian *Words without Parallel*:

Phillus

is a proper name in Anacreon.[3]

[1] cf. Orion 148. 5 [2] the ancient song-book known as the *Anacreontea* will form part of vol. iii [3] the names Philo and Philleas occur in inscriptions, and Phillus in Herodas 3. 60

ΛΑΣΟΥ

Βίος

Hdt. 7. 6 *τοῦτο δὲ Πεισιστρατιδέων οἱ ἀναβεβηκότες ἐς Σοῦσα, τῶν τε αὐτῶν λόγων ἐχόμενοι τῶν καὶ οἱ Ἀλευάδαι καὶ δή τι πρὸς τούτοισι ἔτι πλέον προσορέγοντό οἱ, ἔχοντες Ὀνομάκριτον, ἄνδρα Ἀθηναῖον χρησμολόγον τε καὶ διαθέτην χρησμῶν τῶν Μουσαίου. ἀναβεβήκεσαν γὰρ τὴν ἔχθρην προκαταλυσάμενοι· ἐξηλάσθη γὰρ ὑπὸ Ἱππάρχου τοῦ Πεισιστράτου ὁ Ὀνομάκριτος ἐξ Ἀθηνέων, ἐπ' αὐτοφώρῳ ἅλοὺς ὑπὸ Λάσου τοῦ Ἑρμιονέος ἐμποιέων ἐς τὰ Μουσαίου χρησμόν, ὡς αἱ ἐπὶ Λήμνου ἐπικείμενοι νῆσοι ἀφανιζοίατο κατὰ τῆς θαλάσσης· διὸ ἐξήλασέ μιν ὁ Ἵππαρχος, πρότερον χρεώμενος τὰ μάλιστα. τότε δὲ συναναβάς, ὅκως ἀπίκοιτο ἐς ὄψιν τὴν βασιλέος, λεγόντων τῶν Πεισιστρατιδέων περὶ αὐτοῦ σεμνοὺς λόγους κατέλεγε τῶν χρησμῶν.*

Ar. *Vesp.* 1410 (Φιλοκλέων καὶ Ἀρτόπωλις)·

ΦΙ. Μὰ Δί', ἀλλ' ἄκουσον ἤν τί σοι δόξῳ λέγειν.
Λᾶσός ποτ' ἀντεδίδασκε καὶ Σιμωνίδης·
ἔπειθ' ὁ Λᾶσος εἶπεν, ὀλίγον μοι μέλει.

Thom. Mag. *Vit. Pind.* ἡ δὲ Μυρτὼ ἐγαμήθη Σκοπελίνῳ τῷ αὐλητῇ, ὃς τὴν αὐλητικὴν διδάσκων τὸν Πίνδαρον, ἐπεὶ εἶδε μείζονος ἔξεως ὄντα,

LASUS

Life

Herodotus *Histories*: Moreover those of the Peisistratids who had repaired to Susa were as insistent (that the Persians should invade Greece) as the Aleuadae, indeed more so, having with them a soothsayer and expounder of the oracles of Musaeus, the Athenian Onomacritus. This man, who had been expelled from Athens, despite his former friendship for him, by Peisistratus' son Hipparchus, when Lasus of Hermionè caught him in the act of foisting into the writings of Musaeus an oracle to the effect that the islands off Lemnos would disappear under the sea, had now become reconciled with the Peisistratids and come up with them to Susa to have audience of the King, and being given a flattering testimonial by his old friends repeated to him some of the oracles.

Aristophanes *Wasps* (Philocleon and the Baker's Wench):

Phil. No, no; just listen, and you'll understand. One day Lasus and Simonides were in for the chorus-prize, and when it was all over Lasus exclaimed 'I don't mind a bit.'

Thomas Magister *Life of Pindar*: Myrto was married to the flute-player Scopelinus, who taught Pindar the flute, and finding in the course of his

παρέδωκε Λάσῳ τῷ Ἑρμιονεῖ μελοποιῷ, παρ' ᾧ τὴν λυρικὴν ἐπαιδεύθη.

Theon Smyrn. *Math.* [*π. τῶν συμφωνιῶν*]· *ταύτας δὲ τὰς συμφωνίας οἱ μὲν ἀπὸ βαρῶν ἠξίουν λαμβάνειν, οἱ δὲ ἀπὸ μεγεθῶν, οἱ δὲ ἀπὸ κινήσεων. Λᾶσος δὲ ὁ Ἑρμιονεὺς ὥς φασι . . . συνέπεσθαι τῶν κινήσεων τὰ τάχη καὶ τὰς βραδυτῆτας δι' ὧν αἱ συμφωνίαι.*

Plut. Mus. 29 *Λᾶσος δ' ὁ Ἑρμιονεὺς εἰς τὴν διθυραμβικὴν ἀγωγὴν μεταστήσας τοὺς ῥυθμοὺς καὶ τῇ τῶν αὐλῶν πολυφωνίᾳ κατακολουθήσας πλείοσί τε φθόγγοις καὶ διερριμμένοις χρησάμενος εἰς μετάθεσιν τὴν προϋπάρχουσαν ἤγαγε μουσικήν.*

Sch. Pind. *Ol.* 13. 26 b [*ταὶ Διονύσου πόθεν ἐξέφανεν | σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ;*]· *οὕτως ἀκουστέον· αἱ τοῦ Διονύσου διθυράμβων ἐν Κορίνθῳ ἐφάνησαν χάριτες, τουτέστι τὸ σπουδαιότατον τῶν Διονύσου διθυράμβων ἐν Κορίνθῳ πρῶτον ἐφάνη· ἐκεῖ γὰρ ὡράθη ὁ χορὸς <ὁ> ὀρχούμενος· ἔστησε δὲ αὐτὸν πρῶτος Ἀρίων ὁ Μηθυμναῖος, εἶτα Λᾶσος*[1] *ὁ Ἑρμιονεύς.*

Suid. *Λᾶσος·*[2] *Χαρβίνου, Ἑρμιονεύς, πόλεως τῆς Ἀχαΐας, γεγονὼς κατὰ τὴν νη' Ὀλυμπιάδα, ὅτε Δαρεῖος ὁ Ὑστάσπου. τινὲς δὲ τοῦτον συναριθμοῦσι τοῖς ζ' σοφοῖς ἀντὶ Περιάνδρου. πρῶτος δὲ οὗτος περὶ μουσικῆς λόγον ἔγραψε, καὶ διθύ-*

[1] mss λάσσος [2] mss λάσος

lessons that his pupil had unusual ability, passed him on to the lyric poet Lasus of Hermione to learn the lyre.[1]

Theon of Smyrna *Exposition of Things Mathematical in Plato* [on the musical intervals]: These intervals some writers thought to be derived from varying weight, others from varying size, others from varying vibrations. Lasus of Hermione is said . . . to have investigated the various rates of vibration which produce the different intervals.[2]

Plutarch *Music*: It was Lasus of Hermione who by transferring the rhythms (prosodiac, choree, and bacchius) to the sphere of the dithyramb, and by adapting to it, in imitation of the polyphony of the flute, a more extensive and at the same time more finely divided scale, produced a change in the existing system of music.

Scholiast on Pindar ['whence sprang the graces of Dionysus and their ox-winning dithyramb?']: We are to understand it thus:—the graces of the dithyrambs of Dionysus appeared at Corinth; that is, the finest of Dionysus' dithyrambs first appeared there. For it was at Corinth that the dancing-chorus first appeared, and the originator of it was Arion of Methymna, who was followed by Lasus of Hermione.

Suidas *Lexicon*: Lasus:—Son of Charbinus, of Hermione a city of Achaea; flourished in the 58th Olympiad (B.C. 548–545) in the reign of Darius son of Hystaspes. He is reckoned by some authors among the Seven Wise Men in the place usually given to Periander. He was the first writer on

[1] cf. Eust. *Prooem. Pind.* 27 [2] cf. Aristox. *Harm. El.* 1. p. 3 Meibom, Mart. Capell. *Nupt.* 9. 936 Kopp

ραμβον εἰς ἄγωνα εἰσήγαγε, καὶ τοὺς ἐριστικοὺς εἰσηγήσατο λόγους.

Ath. 8. 338 b [π. ἰχθύων]· οἶδα δὲ καὶ ἃ ὁ Ἑρμιονεὺς Λᾶσος ἔπαιξε περὶ ἰχθύων, ἅπερ Χαμαιλέων ἀνέγραψεν ὁ Ἡρακλεώτης ἐν τῷ περὶ αὐτοῦ συγγράμματι λέγων ὧδε· 'Τὸν Λᾶσόν' φησι 'τὸν ὠμὸν ἰχθὺν ὀπτὸν εἶναι φάσκειν· θαυμαζόντων δὲ πολλῶν ἐπιχειρεῖν λέγειν ὡς ὃ ἔστιν ἀκοῦσαι τοῦτό ἐστιν ἀκουστὸν καὶ ὃ ἔστιν νοῆσαι τοῦτό ἐστιν νοητόν· ὡσαύτως οὖν καὶ ὃ ἔστιν ἰδεῖν τοῦτ' εἶναι ὀπτόν· ὥστ' ἐπειδὴ τὸν ἰχθὺν ἦν ἰδεῖν, ὀπτὸν αὐτὸν εἶναι. καὶ παίζων δέ ποτε ἰχθὺν παρά τινων ἁλιέων ὑφείλετο καὶ λαβὼν ἔδωκέ τινι τῶν παρεστώτων. ὁρκίζοντος δὲ ὤμοσεν μήτ' αὐτὸς ἔχειν τὸν ἰχθὺν μήτ' ἄλλῳ συνειδέναι λαβόντι, διὰ τὸ λαβεῖν μὲν αὐτὸν ἔχειν δὲ ἕτερον, ὃν ἐδίδαξεν ἀπομόσαι πάλιν ὅτι οὔτ' αὐτὸς ἔλαβεν οὔτ' ἄλλον ἔχοντα οἶδεν· εἰλήφει μὲν γὰρ ὁ Λᾶσος εἶχεν δὲ αὐτός.

Plut. *Vit. Pud.* 5 ὡς οὖν πολλῶν κακῶν αἴτιον τὸ νόσημα τοῦτ' ὃν πειρατέον ἀποβιάζεσθαι τῇ ἀσκήσει . . . ἕτερος παρακαλεῖ κυβεύειν παρὰ πότον· μὴ δυσωπηθῇς μηδὲ δείσῃς σκωπτόμενος, ἀλλ' ὥσπερ Ξενοφάνης, Λάσου τοῦ Ἑρμιονέως μὴ βουλόμενον αὐτῷ συγκυβεύειν δειλὸν ἀποκαλοῦντος, ὡμολογεῖ καὶ πάνυ δειλὸς εἶναι πρὸς τὰ αἰσχρὰ καὶ ἄτολμος.

---

[1] cf. Diog. L. 1. 1. 42 ('son of Charmantides or Sisymbrinus, or according to Aristoxenus, of Charbinus') [2] cf. Stob. *App.* 4. 41. 17, Gais. 'Solon took a man to task for dicing, and

music, and made the dithyramb competitive; he also introduced quibbles.[1]

Athenaeus *Doctors at Dinner* [on fish]: I know too the sallies of Lasus of Hermione on this subject, as given by Chamaeleon of Heraclea in his *Account of Lasus*, where he says: 'Lasus used to declare that raw fish was ὀπτός 'cooked,' and when, as many people did, his interlocutor showed his amazement, he tried to make out that since what is to be heard is ἀκουστός or 'audible' and what is to be thought is νοητός or 'conceivable,' therefore, since a fish is to be seen, it is ὀπτός or 'visible' [which also means 'cooked']. And one day, by way of a joke, he purloined a fish from some fishermen, and gave it to one of the bystanders, and then took a solemn oath that he neither had it himself nor knew that anybody else had taken it; which he was able to do because he had taken it himself and another man had it, and this man had his instructions to swear that he neither had taken it himself nor knew that anybody else had it—which he in like manner could do because he had it and Lasus had taken it.

Plutarch *False Shame*: This disease, then, being the cause of many ills, it behoves us to eradicate by treatment. . . . Suppose, for instance, a fellow-guest asks you to play dice over the wine. Do not be put out of countenance or be afraid you are being made fun of, but imitate Xenophanes, who when Lasus of Hermione called him a coward for refusing to play dice with him, agreed that he was a coward, and a great coward, over unseemly things.[2]

[1] when he pleaded that the stakes were small, rejoined 'Ah! but not the habit'

Stob. *Fl.* 29. 70 *ἐκ τῶν Ἀριστοτέλους Χρειῶν· Λᾶσος ὁ Ἑρμιονεὺς ἐρωτηθεὶς τί εἴη σοφώτατον "Ἡ πεῖρα" ἔφη.*

Hesych. *Λασίσματα· <σοφίσματα>*[1] *ὡς σοφίστου τοῦ Λάσου καὶ πολυπλόκου.*

See also Tz. *Prol. Lyc.* 252, *Mar. Par.* 46.

ΛΑΣΟΥ

1 Ὕμνος εἰς τὴν ἐν Ἑρμιόνι Δήμητρα

Ath. 14. 624 e [*π. τῆς Αἰολέων ἁρμονίας*]· *τὸ δὲ τῶν Αἰολέων ἦθος ἔχει τὸ γαῦρον καὶ ὀγκῶδες, ἔτι δὲ ὑπόχαυνον· ὁμολογεῖ δὲ ταῦτα ταῖς ἱπποτροφίαις αὐτῶν καὶ ξενοδοχίαις· οὐ πανοῦργον δὲ ἀλλὰ ἐξηρτημένον καὶ τεθαρρηκός. διὸ καὶ οἰκεῖόν ἐστ' αὐτοῖς ἡ φιλοποσία καὶ τὰ ἐρωτικὰ καὶ πᾶσα ἡ περὶ τὴν δίαιταν ἄνεσις. διόπερ ἔχουσι τὸ τῆς ὑποδωρίου καλουμένης ἁρμονίας ἦθος. αὕτη γάρ ἐστι, φησὶν ὁ Ἡρακλείδης, ἣν ἐκάλουν Αἰολίδα, ὡς καὶ Λᾶσος ὁ Ἑρμιονεὺς ἐν τῷ εἰς τὴν <ἐν> Ἑρμιόνι Δήμητρα "Ὕμνῳ λέγων οὕτως·*

Δάματρα μέλπω Κόραν τε Κλυμένοι' ἄλοχον
μελιβοίαν
ὕμνον ἀναγνῶν Αἰολῆδα[2]
ἅμ βαρύβρομον ἁρμονίαν.[3]

ταῦτα δ' ἄδουσιν πάντες ὑποδώρια τὰ μέλη.

Ibid. 10. 455 c [*π. ἀσίγμων ᾠδῶν*]· *καὶ ὁ εἰς Δημήτρα δὲ ὁ ἐν Ἑρμιόνῃ ποιηθεὶς τῷ Λάσῳ ὕμνος ἄσιγμός ἐστιν, ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τρίτῳ περὶ Μουσικῆς· οὗ ἐστιν ἀρχή 'Δάματρα—ἄλοχον.'*

[1] *E* [2] *ἀναγνῶν B* : = *ἀνάγων*, cf. Hesych. *ἀγνεῖν, ἀγνεῖ* : mss *ἀν. Αἰολίδα* [3] *ἂμ E* : mss *ἄμα*

LASUS

Stobaeus *Anthology*: From the *Maxims* of Aristotle:—When Lasus of Hermione was asked what was the cleverest[1] thing in the world, he replied 'Taking pains.'

Hesychius *Glossary*: Λασίσματα 'Lasisms':—sophistries or quibbling jests, Lasus being a 'sophist' or quibbler.

LASUS

1 Hymn to the Hermionian Demeter

Athenaeus *Doctors at Dinner* [on the Aeolian 'mode']: The Aeolian character, on the other hand, is one that gives itself airs and does the grand, and indeed is inclined to be conceited —which agrees with their horse-breeding and their ways of entertaining guests—; there is no real wickedness in it, but it is high spirited and self-confident. And that is why the Aeolians are so given to wine, women, and luxurious living. Thus it is that they have the character of the mode known as Hypodorian, which is the same, according to Heracleides, as what they called Aeolian, as indeed Lasus of Hermione calls it in his Hymn to the Hermionian Demeter, which begins thus:

Demeter I sing and the Maiden that was the wife of Clymenus, leading a honey-voicèd hymn by way of the deep-noted mode Aeolian;

though this is always sung as Hypodorian.

The Same [on poems written without *s*]: According to Heracleides of Pontus in the the 3rd Book of his *Treatise on Music*, Lasus' Hymn to the Hermionian Demeter also is asigmatic—the hymn which begins 'Demeter I sing.'

[1] the Gk. word implies the skill that comes of training

2 Κένταυροι

Ath. 10. 455 c: *ταῦτα ἂν σημειώσαιτ' ἄν τις πρὸς τοὺς νοθεύοντας Λάσου τοῦ Ἑρμιονέως τὴν ἄσιγμον ᾠδήν, ἥτις ἐπιγράφεται Κένταυροι.*

3

Acl. *V.H.* 12. 36 *ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παίδων μὴ συνᾴδειν ἀλλήλοις . . . Λᾶσος δὲ δὶς ἕπτα λέγει.*

4

Id. *H.A.* 7. 47 *ἔοικε δὲ καὶ τὰ τῶν λυγκῶν ἔκγονα ὁμοίως (σκύμνοι) ὀνομάζεσθαι· ἐν γοῦν τοῖς Λάσου λεγομένοις Διθυράμβοις οὕτως εὑρίσκεται εἰρημένον τὸ βρέφος τὸ τῆς λυγκός.*

5

Nat. Com. 1018: Fuit autem Sphinx Echidnae Typhonisque filia, ut scribit Lasus Hermioneus.

2 The Centaurs

Athenaeus *Doctors at Dinner* [immediately before]: This might be pointed out to those who would reject as spurious the asigmatic ode of Lasus of Hermione entitled *The Centaurs*.

3

Aelian *Historical Miscellanies*: The ancients seem to vary as to the number of Niobe's children. . . . Lasus gives her seven of either sex.

4

The Same *Natural History*: The young of the lynx, also, seem to be known as σκύμνοι 'whelps.' For in the Dithyrambs attributed to Lasus, the cub of the lynx occurs under that name.

5

Natalis Comes[1] *Mythology*: According to Lasus of Hermione the Sphinx was the daughter of Echidna and Typhon.

[1] the *bona fides* of this author is open to doubt

ΑΠΟΛΛΟΔΩΡΟΥ

Βίος

Eust. *Prooem. Pind.* 27 *καὶ οὕτως οἰωνισάμενος (ὁ Πίνδαρος) ἔπειτα εἰς ποιητικὴν ἐτράπη, καθηγησαμένων αὐτῷ τοῦ μαθεῖν ἢ τοῦ Λάσου, ὡς εἴρηται, ἢ τοῦ Ἀθηναίου Ἀγαθοκλέους, ἢ Ἀπολλοδώρου, ὃν φασι καὶ προϊστάμενον κυκλίων χορῶν καὶ ἀποδημοῦντα πιστεῦσαι τὴν διδασκαλίαν Πινδάρῳ παιδὶ ὄντι· τὸν δὲ εὖ τὸ πιστευθὲν διακοσμήσαντα περιβοηθῆναι.*

Ὕμνοι

Erotian 3 16 *τὸ τέρθρον τοῦ πάθους ἀντὶ τοῦ τὸ τέλος . . . καὶ Ἀπολλόδωρος ὁ τοὺς ὕμνους γράψας φησί·*

Τίς τοιῇδ' ἐν ὥρῃ
ἦλθεν ἐπὶ τέρθρον θυράων ;

ἀντὶ τοῦ ἐπὶ τέλει τῶν θυρῶν.

APOLLODORUS

Life

Eustathius *Introduction to Pindar*: Under such omens did Pindar turn to the art of poetry, having for guide therein either Lasus as aforesaid, or the Athenian Agathocles, or else Apollodorus, of whom we are told that having to absent himself from the city when he was in command of a cyclic chorus, he committed their training to the boy Pindar, who acquitted himself so well as to become the talk of the town.

Hymns

Erotian *Glossary to Hippocrates*: The 'edge' of the disease instead of the 'end' or crisis . . . compare Apollodorus the writer of the hymns:

Who cometh to the edge of my gates at this hour of the night?

where he uses 'edge' for 'end' (or threshold).

ΤΥΝΝΙΧΟΥ

Βίος

Ptol. Heph. ap. Phot. *Bibl.* 190. 151. 9 *τελευτήσαντος Δημητρίου τοῦ Σκηψίου τὸ βιβλίον Τέλλιδος πρὸς τῇ κεφαλῇ αὐτοῦ εὑρέθη· τὰς δὲ Κολυμβώσας Ἀλκμᾶνος*[1] *πρὸς τῇ κεφαλῇ Τυννίχου*[2] *τοῦ Χαλκιδέως εὑρεθῆναί φασιν.*

Παιάν

Porph. *Abst.* 2. 18 *τὸν γοῦν Αἰσχύλον φασὶ τῶν Δελφῶν ἀξιούντων εἰς τὸν θεὸν γράψαι παιᾶνα εἰπεῖν ὅτι βέλτιστα Τυννίχῳ πεποίηται· παραβαλλόμενον δὲ τὸν αὐτοῦ πρὸς τὸν ἐκείνου ταὐτὸν πείσεσθαι τοῖς ἀγάλμασιν τοῖς καινοῖς πρὸς τὰ ἀρχαῖα· ταῦτα γὰρ καίπερ ἁπλῶς πεποιημένα θεῖα νομίζεσθαι, τὰ δὲ καινὰ περιέργως εἰργασμένα θαυμάζεσθαι μὲν θεοῦ δὲ δόξαν ἧττον ἔχειν.*

Plat. *Ion* 534 b *ἅτε οὖν οὐ τέχνῃ ποιοῦντες (οἱ ποιηταί) καὶ πολλὰ λέγοντες καὶ καλὰ περὶ τῶν πραγμάτων, ὥσπερ σὺ περὶ Ὁμήρου, ἀλλὰ θείᾳ μοίρᾳ, τοῦτο μόνον οἷός τε ἕκαστος ποιεῖν καλῶς ἐφ' ὃ ἡ Μοῦσα αὐτὸν ὥρμησεν, ὁ μὲν διθυράμβους, ὁ δὲ ἐγκώμια, ὁ δὲ ὑπορχήματα ὁ δ' ἔπη, ὁ δ' ἰάμβους· τὰ δ' ἄλλα φαῦλος αὐτῶν ἕκαστός ἐστιν . . . μέγιστον δὲ τεκμήριον τῷ λόγῳ Τύννιχος ὁ Χαλκιδεύς, ὃς ἄλλο μὲν οὐδὲν πώποτε ἐποίησε ποίημα ὅτου τις ἂν ἀξιώσειεν μνησθῆναι, τὸν δὲ παίωνα ὃν πάντες ᾄδουσι, σχέδον τι πάντων μελῶν κάλλιστον, ἀτέχνως, ὅπερ αὐτὸς λέγει,*

εὕρημά τι Μοισᾶν

[1] mss *ἀλκμάνους* [2] mss *τυρονίχου*

---

[1] cf. Suid. *Ἀλκμάν* (vol. i. p. 44 n) [2] for Procop. *B. G.* 4. 22, see Bergk, p. 379

TYNNICHUS

Life

Ptolemaeus Hephaestion in Photius *Library*: It is said that upon the death of Demetrius of Scepsis a copy of Tellis was found on his pillow, and similarly that the *Diving Women* of Alcman (?)[1] was found beside Tynnichus.[2]

Paean

Porphyrius *On Abstaining from Animal Food*: When Aeschylus was asked by the Delphians to write a Paean to Apollo, he is said to have replied that Tynnichus had written an excellent one already, and that any paean he might write would be at as great a disadvantage as a modern statue in comparison with an old one; for the latter though simply executed was considered divine, while the modern statue might be marvelled at for its elaborate workmanship but gave less conviction as a representation of the deity it portrayed.

Plato *Ion*: Since, then, the many noble things the poets compose and say on any subject, like you on Homer, are not the result of art but of a divine dispensation, they are able to acquit themselves well only in a kind to which they are directed by the Muse, be it the dithyramb, the eulogy, the dance-song, the epic, or the iambic; in all other kinds their performance is second-rate. . . . A good example of what I mean is seen in Tynnichus of Chalcis, who never composed anything worth remembering but the Paean sung everywhere, which is well-nigh the finest lyric poem ever written, truly, as he himself calls it,

an invention of the Muses

ΤΕΛΕΣΙΛΛΗΣ

Βίος

Paus. 2. 20. 8 [π. Ἄργους]· ὑπὲρ δὲ τὸ θέατρον Ἀφροδίτης ἐστὶν ἱερόν· ἔμπροσθεν δὲ τοῦ ἕδους Τελέσιλλα ἡ ποιήσασα τὰ ᾄσματα ἐπείργασται στήλῃ· καὶ ἐκεῖνα μὲν[1] ἔρριπταί οἱ πρὸς τοῖς ποσίν, αὕτη δὲ ἐς κράνος ὁρᾷ κατέχουσα τῇ χειρὶ καὶ ἐπιτίθεσθαι τῇ κεφαλῇ μέλλουσα. ἦν δὲ καὶ ἡ Τελέσιλλα καὶ ἄλλως ἐν ταῖς γυναιξὶν εὐδόκιμος, καὶ μᾶλλον ἐτιμᾶτο ἔτι <ἢ> ἐπὶ τῇ ποιήσει. συμβάντος δὲ Ἀργείοις ἀτυχῆσαι λόγου μειζόνως πρὸς Κλεομένην τὸν Ἀναξανδρίδου καὶ Λακεδαιμονίους, καὶ τῶν μὲν ἐν αὐτῇ πεπτωκότων τῇ μάχῃ, ὅσοι δὲ ἐς τὸ ἄλσος τοῦ Ἄργου κατέφευγον, διαφθαρέντων καὶ τούτων, τὰ μὲν πρῶτα ἐξιόντων κατὰ ὁμολογίαν, ὡς δὲ ἔγνωσαν ἀπατώμενοι συγκατακαυθέντων τῷ ἄλσει τῶν λοιπῶν, οὕτως τοὺς Λακεδαιμονίους ἦγεν ἐπὶ ἔρημον ἀνδρῶν τὸ Ἄργος. Τελέσιλλα δὲ οἰκετὰς μὲν καὶ ὅσοι διὰ νεότητα ἢ γῆρας ὅπλα ἀδύνατα φέρειν ἦσαν, τούτους μὲν πάντας ἀνεβίβασεν ἐπὶ τὸ τεῖχος· αὐτὴ δὲ ὅπόσα ἐν ταῖς οἰκίαις ὑπελείπετο καὶ τὰ ἐκ τῶν ἱερῶν ὅπλα ἀθροίσασα τὰς ἀκμαζούσας ἡλικίᾳ τῶν γυναικῶν ὥπλιζεν· ὁπλίσασα δὲ ἔτασσε κατὰ τοῦτο ᾗ τοὺς πολεμίους προσιόντας ἠπίστατο. ὡς δὲ ἐγίγνοντο οἱ Λακεδαιμόνιοι, καὶ αἱ γυναῖκες οὔτε τῷ ἀλαλαγμῷ κατεπλάγησαν,

[1] Kayser: mss βιβλία μὲν ἐκεῖνα

TELESILLA

Life

Pausanias *Description of Greece* [on Argos]: Above the theatre there is a temple of Aphrodite, and in front of the seated statue of the Goddess is a slab engraved with a figure of Telesilla the writer of the poems. These lie as though thrown down beside her feet, and she herself is looking at a helmet which she holds in her hand and is about to put upon her head. Telesilla was famous among women for her poetry, but still more famous for the following achievement. Her fellow-citizens had sustained an indescribable disaster at the hands of the Spartans under Cleomenes son of Anaxandrides. Some had fallen in the actual battle, and of the others, who took sanctuary in the grove of Argus, some had at first ventured out under a truce only to be slaughtered, and the rest realising the enemy's treachery had stayed behind only to be burnt to death when he fired the grove. By these means Cleomenes, proceeding to Argos, led his Lacedaemonians against a city of women. But Telesilla took all the slaves and all such male citizens as through youth or age had been unable to bear arms, and made them man the walls, and gathering together all the weapons of war that had been left in the houses or were hanging in the temples, armed the younger women and marshalled them at a place she knew the enemy must pass. There, undismayed by the war-cry, the women stood their

ἐξάμεναί τε ἐμάχοντο ἐρρωμένως, ἐνταῦθα οἱ Λακεδαιμόνιοι, φρονήσαντες ὡς καὶ διαφθείρασί σφισι τὰς γυναῖκας ἐπιφθόνως τὸ κατόρθωμα ἕξει, καὶ σφαλεῖσι μετὰ ὀνειδῶν γενήσοιτο ἡ συμφορά, ὑπείκουσι ταῖς γυναιξί. πρότερον δὲ ἐπὶ τὸν ἀγῶνα τοῦτον προεσήμηνεν ἡ Πυθία, καὶ τὸ λόγιον, εἴτε ἄλλως εἴτε καὶ ὡς συνείς, ἐδήλωσεν Ἡρόδοτος·

Ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρρενα νικήσασα
ἐξελάσῃ, καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται,
πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει.

τὰ μὲν εἰς τὸ ἔργον τῶν γυναικῶν ἔχοντα τοῦ χρησμοῦ ταῦτα ἦν.

Plut. *Mul. Virt.* 245 c οὐδενὸς δ' ἧττον ἔνδοξόν ἐστι τῶν κοινῇ διαπεπραγμένων γυναιξὶν ἔργων ὁ πρὸς Κλεομένη περὶ Ἄργους ἀγών, ὃν ἠγωνίσαντο Τελεσίλλης τῆς ποιητρίας προτρεψαμένης. ταύτην δέ φασιν οἰκίας οὖσαν ἐνδόξου τῷ δὲ σώματι νοσηματικὴν εἰς θεοῦ πέμψαι περὶ ὑγιείας· καὶ χρησθὲν αὐτῇ Μούσας θεραπεύειν, πειθομένην τῷ θεῷ καὶ ἐπιθεμένην ᾠδῇ καὶ ἁρμονίᾳ τοῦ τε πάθους ἀπαλλαγῆναι ταχὺ καὶ θαυμάζεσθαι διὰ ποιητικὴν ὑπὸ τῶν γυναικῶν. ἐπεὶ δὲ Κλεομένης ὁ βασιλεὺς τῶν Σπαρτιατῶν πολλοὺς ἀποκτείνας (οὐ μήν, ὡς ἔνιοι μυθολογοῦσιν, ἑπτὰ καὶ ἑβδομήκοντα καὶ ἑπτακοσίους πρὸς ἑπτακισχιλίοις) ἐβάδιζε πρὸς τὴν πόλιν, κ.τ.λ. . . . οὕτω δὲ τῆς πόλεως περιγενομένης

[1] *i.e.* be mourning her husband [2] Hdt. 6 77 (cf. 19) gives what is apparently the Spartan version omitting all

ground and fought with the greatest determination, till the Spartans, reflecting that the slaughter of an army of women would be but an equivocal victory and defeat at their hands dishonour as well as disaster, laid down their arms. Now this battle had been foretold by the Pythian priestess, and Herodotus, whether he understood it or not, quotes the oracle as follows :

> When male by female 's put to flight
> And Argos' name with honour 's bright,
> Many an Argive wife shall show
> Both cheeks marred with scars of woe.[1]

Such is the part of the oracle which refers to the women.[2]

Eudoxus, therefore, is wrong in agreeing with the writers who make out that it is the water of the Styx that is so called.

57[2]

Plutarch *How a Man may perceive that he is progressing in Virtue*: Just as Simonides says that

The bee consorteth with the flowers to contrive her yellow honey,

and neither likes nor takes anything else from them, whereas others like their colour and scent, so the man who, unlike those who have recourse to poetry for pleasure and amusement, finds for himself in it and adds to his store some treasure that is really worth having—such a man may be reckoned to have won by mere familiarity a power to appreciate what is beautiful and proper.

58

Scholiast on the *Iliad* [on round numbers]: . . . For Homer says 'Nineteen were there of my one womb' [*Il.* 24. 496], and Simonides:

And gracious be thou, O Mother of twenty children.[3]

[1] cf. Poulsen *Delphi* 4 [2] cf. Cram. *A.O.* 3. 173. 12, Plat. *Ion.* 534 b [3] Hecuba; cf. Theocr. 15. 139

59

Sch. Pind. *O.* 13. 78 [τὰ δὲ *καί ποτ' ἐν* ἀλκᾷ | *πρὸ* Δαρδάνου τειχέων ἐδόκησαν | ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος]· οἱ Κορίνθιοι ἐπ' ἀμφότερα ἠρίστευσαν ἐν Ἰλίῳ· καὶ γὰρ τοῖς Τρωσὶ συνεμάχησαν καὶ τοῖς Ἕλλησι . . . διὰ τοῦτο δὲ καὶ Σιμωνίδης εἶπε·

Κορινθίοις δ' οὐ μανίει οὐδ' <ἐοῦσι>
Δανάοις.[1]

ἀμφοτέροις γὰρ σύμμαχοι ἐγένοντο.

60

Plut. *Exil.* 8 ἂν γὰρ τούτων τις μνημονεύῃ φρένας ἔχων καὶ μὴ παντάπασι τετυφωμένος, αἱρήσεται καὶ νῆσον οἰκεῖν φυγὰς γενόμενος, Γύαρον ἢ Κίναρον . . . οὐκ ἀθυμῶν οὐδ' ὀδυρόμενος οὐδὲ λέγων ἐκεῖνα τὰ τῶν παρὰ Σιμωνίδῃ γυναικῶν·

ἴσχει δέ με πορφυρέας
ἁλὸς ἀμφιταρασσομένας ὀρυμαγδός.

61

Ath. 4. 172 e [π. τῶν Ἀθλων]· ὅτι δὲ τὸ ποίημα τοῦτο Στησιχόρου ἐστὶν ἱκανώτατος μαρτὺς Σιμωνίδης ὁ ποιητής, ὃς περὶ τοῦ Μελεάγρου τὸν λόγον ποιούμενός φησιν·

. . . . . ὃς δουρὶ πάντας
νίκασε νεοὺς διαίξεντα βαλὼν
Ἄναυρον ὕπερ πολυβότρυος ἐξ Ἰωλκοῦ.
οὕτω γὰρ Ὅμηρος ἠδὲ Στασίχορος ἄεισε λαοῖς.[2]

[1] Κορινθίοις δ' Cram. *A.P*: Sch. Pind. Κορινθίοισιν ἐοῦσι *E*

[2] Ὅμηρος κτλ. the metre of this and the previous line is recorded as Stesichorean; cf. Caes. Bass. *Gr. Lat.* 6, 256, Mar. Vict. ibid. 126, Sch. Pind. *O.* 3 (Garrod *C.Q.* '22, p. 69)

59[1]

Scholiast on Pindar ['how once before the walls of Dardanus the Corinthians were thought to be turning the issues of fights either way']: The Corinthians distinguished themselves on both sides at Troy, fighting both with the Trojans and with the Greeks . . . And this is why Simonides says:

Troy is not wroth with the men of Corinth,
Greeks though they be;

for they were allies of both sides.

60

Plutarch *Exile*: If a man will but bear this in mind and keep his head, he will prefer even to live in exile on an island such as Gyaros or Cinaros . . . without losing heart or lamenting or saying like the women in Simonides

The noise of the purple sea-waves about me holds me fast.

61

Athenaeus *Doctors at Dinner* [on the *Funeral Games of Pelias*]: Sound evidence that this poem is the work of Stesichorus is given by the poet Simonides, who in a passage about Meleager says:

who beat all the youth of Iolcos of the vineyards in throwing the spear across the eddies of Anaurus; for thus have Homer and Stesichorus sung to the peoples.

[1] cf. Plut. *Vit. Dion.* 1, Arist. *Rh.* 1. 6, Cram. *A.P.* 1. 285. 8

62–64

Plut. *Vit. Thes.* 17 *τότε δὲ τοῦ Θησέως τὸν πατέρα θαρρύνοντος καὶ μεγαληγοροῦντος ὡς χειρώσεται τὸν Μινώταυρον ἔδωκεν (Αἰγεὺς) ἕτερον ἱστίον λευκὸν τῷ κυβερνήτῃ, κελεύσας ὑποστρέφοντα σῴζομένου τοῦ Θησέως ἐπάρασθαι τὸ λευκόν, εἰ δὲ μή, τῷ μέλανι πλεῖν καὶ ἀποσημαίνειν τὸ πάθος· ὁ δὲ Σιμωνίδης οὐ λευκόν φησιν εἶναι τὸ δοθὲν ὑπὸ τοῦ Αἰγέως, ἀλλὰ*

φοινίκεον ἱστίον ὑγρῷ
πεφυρμένον ἄνθεϊ πρινῶν ἐριθάλλων[1]

καὶ τοῦτο τῆς σωτηρίας αὐτῶν ποιήσασθαι σημεῖον. ἐκυβέρνα δὲ τὴν ναῦν

Ἀμαρσυάδας Φέρεκλος

ὥς φησι Σιμωνίδης.

Sch. Soph. *Aj.* 740 [*τί δ' ἔστι χρείας τῆσδ' ὑπεσπανισμένον;*] *οἷον τί σοι λείπει, ὅπερ σπάνιόν ἐστι, πρὸς τὴν χρείαν τὴν νῦν· ἐσπάνιζε δὲ τὸ ἄμεινον εἶναι πρὸ ὀλίγου αὐτὸν παραγεγονέναι· καὶ παρὰ Σιμωνίδῃ ἐπὶ τοῦ πρὸς Αἰγέα ἀγγέλου πεμφθέντος·*

βιότου κέ σε μᾶλλον ὄνασα πρότερος ἐλθών.[2]

65

Clem. Al. *Str.* 4. 585 *θεὸς δὲ ἡμῖν κηρύσσει καὶ πιστέον αὐτῷ· 'Καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. λέγει γοῦν ἡ γραφή· "πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται."' εἰκότως οὖν Σιμωνίδης γράφει·*

[1] *E*: mss *πρινός, -ου* (changed to suit sing. *ἄνθει*) *ἄνθει ἐριθάλλου* [2] *βιότου κε* Herm: mss *-τω καί* *ὄνασα* Schn: mss *ὤν*

62–64

Plutarch *Life of Theseus*: And then, while Theseus cheered his father and boasted how he would vanquish the Minotaur, Aegeus gave the ship's captain a spare white sail, bidding him hoist the white if he came home with Theseus saved alive, and if not, to sail with the black in token of what had happened. But according to Simonides the sail given by Aegeus was not white, but

a crimson sail dyed with the flower of the springing holm-oak

and Aegeus made this their token that all was well. The captain of the ship was

Phereclus son of Amarsyas

according to Simonides.

Scholiast on Sophocles [' What is it you have left undone ?' [1]] that is, what is wanting or lacking to you for this your need ? ' what is lacking ' means that it would have been better for him to come a moment sooner; and in Simonides, of the messenger sent to Aegeus:

I would have given thee reward more worth than life itself, hadst thou got hither sooner.

65

Clement of Alexandria: God preaches to us and Him we must believe: 'For with the heart man believeth unto righteousness, and with the mouth confession is made unto salvation. For the scripture saith "Whosoever believeth on him shall not be put to shame."' (*Rom.* 10. 10). Well may Simonides write:

[1] Soph. prob. wrote (pleonastically) *τί δ' ἐστι χρείας τοῦθ' ὑπεσπανισμένον; χρείας* going with *τί*; Jebb's translation cannot be got out of his text (*E*)

Ἔστι τις λόγος τὰν ἀρετὰν
ναίειν δυσαμβάτας ἐπὶ πέτρας,[1]
σὺν δέ μιν θεᾶν χορὸν ἁγνὸν ἀμφέπειν,[2]
οὐδὲ πάντως βλεφάροις θνατῶν ἔσοπτον,[3]
ᾧ μὴ δακέθυμος ἱδρὼς ἔνδοθεν μόλῃ
ἵκηταί τ' ἀνδρείας ἐς ἄκρον.[4]

66

Hdn. π.μ.λ. 2. 919 Walz πῦρ· οὐδὲν εἰς υρ λῆγον οὐδέτερον μονοσύλλαβον, ἀλλὰ μόνον τὸ πῦρ· ὅπερ Σιμωνίδης καὶ ἕνεκα μέτρου δισυλλάβως ἀπεφήνατο·

τοῦτο γὰρ μάλιστα φῆρες ἔστυγον πύϊρ.[5]

67

Plut. *Disc. Am.* 24 ὁ ψευδὴς καὶ νόθος καὶ ὑπόχαλκος ὢν . . . τὸν δὲ κρείττονα τρέμει καὶ δέδοικεν, οὐ μὰ Διὰ 'παρὰ Λύδιον ἄρμα πεζὸς οἰχνεύων,' ἀλλὰ ὥς φησι Σιμωνίδης[6]

παρὰ χρυσὸν ἑφθὸν ἀκήρατον
οὐδὲ μόλυβδον ἔχων

68

Stob. *Fl.* 118. 6 [π. θανάτου καὶ ὡς εἴη ἄφυκτος]· Σιμωνίδου·

ὁ δ' αὖ θάνατος κίχε τοι τὸν φυγόμαχον.[7]

[1] *E*: mss -τοις ἐπὶ πέτραις [2] σὺν (adv.) *E*: mss νῦν: Wil. νυμφᾶν θεᾶν *E*: mss θυάν (ινθε became ινδυ from above): Wil. θοᾶν χορὸν Wil.: mss χῶρον [3] πάντως *E*: mss πάντων mss ἔσοπτος [4] ἵκηταί τ' *B*: mss ἵκητ' mss ἐς ἀκρ. ἀνδρ. [5] Lobeck: mss φηρὲς ἐς τύγε πύϊρ [6] these 3 words come after ἑφθὸν in the mss: perh. ἀκήρατον is a

There's a tale that Virtue[1] dwelleth on a rock hard to climb and with a pure band of Goddesses to watch over it, nor may she ever be seen by eye of mortal, unless heart-devouring sweat come out of one and he reach unto the very top of manliness.

66

Herodian *Words without Parallel*: πῦρ, 'fire':—There is no neuter monosyllable in -υρ except this, and Simonides for metre's sake makes it disyllabic:

For fire is what the beasts hate most of all.

67

Plutarch *How to distinguish a Friend from a Flatterer*: The false, counterfeit, base-minted friend . . . stands in awe of the better man, not 'going afoot beside a Lydian chariot,' but in Simonides' phrase:

With pure refinèd gold to his hand, possessing not lead.

68

Stobaeus *Anthology* [on Death and its inevitability]: Simonides:

But Death surely overtaketh him that runneth from the battle.

[1] the Greek word sometimes connotes achievement and the fame it brings

---

gloss [7] κίχε *B*: mss ἔκιχε τοι *E*: mss τε: Gais. καί but sound awkward Garrod sugg. κίχε καὶ φυγαίχμαν

69

Plut. *Apoph. Imp.* 207 c [Καίσαρος τοῦ Σεβάστου]· Ἀθηνοδώρῳ δὲ τῷ φιλοσόφῳ διὰ γῆρας εἰς οἶκον ἀφεθῆναι δεηθέντι συνεχώρησεν· ἐπεὶ δὲ ἀσπασάμενος αὐτὸν ὁ Ἀθηνόδωρος εἶπεν ''Οταν ὀργίσθῃς, Καῖσαρ, μηδὲν εἴπῃς μηδὲ ποιήσῃς πρότερον ἢ τὰ εἴκοσι καὶ τέτταρα γράμματα διελθεῖν πρὸς σεαυτόν,' ἐπιλαβόμενος αὐτοῦ τῆς χειρὸς ''Ετι σου παρόντος' ἔφη 'χρείαν ἔχω'· καὶ κατέσχεν αὐτὸν ὅλον ἐνιαυτόν, εἰπὼν ὅτι

ἔστι καὶ σιγᾶς ἀκίνδυνον γέρας.

70

Sext. Emp. *Math.* 11. 556 ἀγαθὸν μέν οὖν, καὶ τοῦτο πρῶτον, εἰρήκασι τὴν ὑγίειαν οὐκ ὀλίγοι τῶν τε ποιητῶν καὶ τῶν συγγραφέων καὶ καθόλου πάντες οἱ ἀπὸ τοῦ βίου. Σιμωνίδης μὲν γὰρ ὁ μελοποιός φησιν·

οὐδὲ καλᾶς σοφίας ἐστὶν χάρις
εἰ μή τις ἔχει σεμνὰν ὑγίειαν.[1]

71

Ath. 12. 512 c [π. τρυφῆς]· καὶ οἱ φρονιμώτατοι καὶ μεγίστην δόξαν ἐπὶ σοφίᾳ ἔχοντες μέγιστον ἀγαθὸν τὴν ἡδονὴν εἶναι νομίζουσιν, Σιμωνίδης μὲν οὑτωσὶ λέγων·

τίς γὰρ ἀδονᾶς ἄτερ
θνατῶν βίος ποθεινὸς ἢ ποία τυραννίς ;
τᾶς ἄτερ οὐδὲ θεῶν ζαλωτὸς αἰών.[2]

[1] mss μηδὲ . . . εἶναι χάριν . . . ἔχοι . . . (rightly) [2] τᾶς Kaib: mss τᾶς δ'

[1] perh. from the same poem as 68, being imitated by Horace in the same ode, 3. 2. 14 and 25 ; cf. Aristid. 2. 192 and

69[1]

Plutarch *Sayings of Emperors* [Augustus Caesar]: When the philosopher Athenodorus asked to be allowed to return home because of his age, Augustus agreed; but when the old man on bidding him farewell added 'When you are angry, Caesar, say nothing and do nothing till you have mentally repeated the alphabet,' he took him by the hand saying, 'I still have need of your presence'; and kept him a whole twelvemonth, adding

In silence also there's a worth that brings no risk.

70

Sextus Empiricus *Against the Mathematicians*: Health has been declared not only a good, but the first good, by many poets and prose-writers, indeed by all who write of the realities of life; Simonides the lyrist says:

There's no joy even in beautiful Wisdom, unless one have holy Health.

71

Athenaeus *Doctors at Dinner* [on luxury]: And pleasure is considered a very great good by the keenest-witted of men, men with the highest reputation for wisdom, for instance Simonides, who says:

For what human life, nay, what throne, is desirable without pleasure? Without her the life of a very God is not to be envied.

Sch. (ὁ Σ.), Stob. *Fl.* 33. 5, *C.I.G.* 3. 6308, Clem. *Paed.* 2. 203, Str. 2. 465, Greg. Naz. 4. 317, *Paroem.* 2. 422, Ars. 242, Jul. *Or.* 1. 3, Liban. *Decl.* 15. 1. 445, Philo *Vit. Mos.* 646 c, *Rh. Gr.* Walz 8. 119

72

Ath. 13. 603 f [*π. ἔρωτος*]· . . . εἶπεν (ὁ Σοφοκλῆς κατὰ τὸν Ἴωνα) *πρὸς τὸν συγκατακείμενον*· ''Ὡς καλῶς Φρύνιχος ἐποίησεν εἴπας· ''Λάμπει δ' ἐπὶ πορφυρέαις παρῆσι φῶς ἔρωτος.''' καὶ πρὸς τόδε ἠμείφθη ὁ Ἐρετριεὺς ἢ Ἐρυθραῖος γραμμάτων ἐὼν διδάσκαλος· 'Σοφὸς μὲν δὴ σύ γε εἶ, ὦ Σοφόκλεις, ἐν ποιήσει· ὅμως μέντοι γε οὐκ εὖ εἴρηκε Φρύνιχος πορφυρέας εἰπὼν τὰς γνάθους τοῦ καλοῦ. εἰ γὰρ ὁ ζωγράφος χρώματι πορφυρέῳ ἐναλείψειε τουδὶ τοῦ παιδὸς τὰς γνάθους, οὐκ ἂν ἔτι καλὸς φαίνοιτο· οὐ κάρτα δὴ τὸ καλὸν τῷ μὴ καλῷ φαινομένῳ εἰκάζειν δεῖ.' γελάσας δ' ἐπὶ τῷ Ἐρετριεῖ Σοφοκλῆς· Οὐδὲ τόδε σοι ἀρέσκει ἄρα, ὦ ξένε, τὸ Σιμωνίδειον, κάρτα δοκέον τοῖς Ἕλλησιν εὖ εἰρῆσθαι·

. . . . . *πορφυρέον*
ἀπὸ στόματος ἱεῖσα φωνὰς παρθένος

73

E.M. 813. 8 *χλωρηΐς ἀηδών*· *ἀπὸ τοῦ χρώματος* . . . καὶ Σιμωνίδης·

εὖτ' ἀηδόνες πολυκώτιλοι
χλωραύχενες εἰαριναί

74

Sch. Ar. *Av.* 1410 [*ὄρνιθες τίνες οἵδ' κ.τ.λ.*] . . . *τινὲς παρὰ τὸ* Ἀλκαίου (*fr.* 141) καὶ *παρὰ τὸ Σιμωνίδου*·

Ἄγγελε κλυτὰ ἔαρος ἀδυόδμου,
κυανέα χελιδοῖ

75

Sch. Pind. *O.* 9. 74 [*αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ' ὕμνων | νεωτέρων*]· . . . *δοκεῖ δὲ τοῦτο πρὸς τὸ Σιμωνίδειον εἰρῆσθαι· ἐπεὶ ἐκεῖνος ἐλασσωθεὶς ὑπὸ Πινδάρου λοιδορίας ἔγραψε κατὰ τοῦ ⟨κ ιτοῦ κατα⟩κρίναντος*[1] *ἀγαθῶν εἰδῶν·*[2] *ἐπειδὴ ἐκεῖνος εἶπεν·*

[1] *E* [2] mss *εἰδέον*

72

Athenaeus *Doctors at Dinner* [on love]: . . . Sophocles (according to Ion) said to the guest sitting next him, 'What a pretty phrase that is of Phrynichus: "The light of love shines upon crimson cheeks"!' Whereupon the Eretrian or Erythraean—and he was an elementary schoolmaster—exclaimed, 'You may be very clever, Sophocles, at poetry; but all the same, Phrynichus was wrong in calling the cheeks of the pretty one crimson. If the painter were to put crimson on this lad's cheeks, he would no longer be pretty. And therefore what is pretty ought not to be likened to what is not so.' To which Sophocles replied with a smile at the Eretrian, Then, sir, this of Simonides, highly approved by our countrymen in general, will likewise meet your censure:

The maid sent forth speech from her crimson lips.

73[1]

Etymologicum Magnum: Green-hued nightingale (*Od.* 19, 518):—from the colour . . . Compare Simonides:

When the babbling nightingales, the green-necked birds of the Spring

74[2]

Scholiast on Aristophanes *Birds* ['What birds are these' *etc.*]: Some say this comes from Alcaeus (*fr.* 141) and from Simonides:

Loud messenger of sweet-scented Spring, blue Swallow[3]

75

Scholiast on Pindar ['praise thou old wine, but the flowers of new songs']: . . . This appears to be directed against Simonides, who when beaten by Pindar in the contest, wrote abuse of the judge for condemning a good poem. And it is because in this he said:

[1] cf. Sch. *Od.* 19. 518, Eust. 1875. 41 [2] cf. Sch. Ar. *Av.* 1301 [3] loud: in the eaves of a morning, cf. *Anacreont.* 10

ἐξελέγχεται δ' ὁ νέος
οἶνος οὔπω <τὸ> πέρυσι δῶρον ἀμπέλου·[1]
ὁ δὲ μῦθος ὅδε κενεοφρόνων κόρων δέ·[2]

διὰ τοῦτο ὁ Πίνδαρος ἐπαινεῖ παλαιὸν οἶνον.

76

Sch. Eur. *Or.* 236 [κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ]· καὶ Σιμωνίδης·

τὸ δοκεῖν καὶ τὰν ἀλάθειαν βιᾶται.

77

Theod. Metoch. 90 καί·

μόνος ἄλιος οὐρανῷ[3]

φησὶ Σιμωνίδης, καὶ μόνος Ἀριστοτέλης καὶ τὰ ἐκείνου συντάγματα πᾶσα πρόθεσίς ἐστι τοῖς περὶ φιλοσοφίαν . . . σπουδάζειν αἱρουμένοις.

78

Sch. *Il.* 21. 126 [θρῴσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαΐξει | ἰχθύς]· ἔστιν ἡ φρὶξ κινουμένου τοῦ πνεύματος ἀρχή· Σιμωνίδης δὲ αὐτὴν καὶ δεῖξαι πειρώμενος οὕτως ἔφη·

εἶσ' ἄλα στίζοισα πνοιά[4]

79

Ibid. 2. 2 [νήδυμος ὕπνος]· . . . οἱ δὲ μεθ' Ὅμηρον καὶ χωρὶς τοῦ ν λέγουσιν . . . καὶ Σιμωνίδης·

οὗτος δέ τοι ἄδυμον ὕπνον ἔχων[5]

[1] τὸ *E* (οὐ τὸ Gerh.) [2] *E*: mss κενεόφρων· κούρων δέ [3] *B*: mss ἐν οὐρανῷ [4] εἶσ' *B*: mss ἐς [5] ἄδυμον Schn: mss ἥδυμος: perh. τοῦτον δέ τοι ἄδυμος ὕπνος ἔχων

New wine can be known for this year's gift of the vine,[1] and this tale is the work of a fool and a lad,

that Pindar here praises old wine.

76[2]

Scholiast on Euripides ['appearance winneth even if it be beside the truth']: Compare Simonides:

Appearance forceth even the truth.

77

Theodorus the Metochite *Prelude*: In the words of Simonides,

The sky hath nought but the sun;

and in like manner those who concern themselves with philosophy have nought but Aristotle and his writings for a complete exposition of it.

78

Scholiast on the *Iliad* ['A fish leaping in the wave shall dart beneath the dark ripple']: φρίξ, 'a ripple,' is the beginning of a rising wind. Simonides tries to indicate it thus:

A breeze comes stippling the sea.[3]

79[4]

The Same ['sweet sleep']: . . . Poets after Homer also use the form without the ν, ἥδυμος . . . Compare Simonides:

but he, possessing sweet slumber

[1] lit. 'not yet last year's'; *i. e.* it is as easy to tell young work as new wine, and neither is good [2] cf. Plat. *Rep.* 2. 356 c [3] cf. *fr.* 13. [4] cf. Eust. 163. 28

80

Cram. *A.P.* 4. 186. 33 *νίκη·* Ἀπολλώνιος ὁ Ἀρχιβίου ὃ ἔν' εἴκει, τουτέστιν ἐνὶ ὑποχωρεῖ· γέγονεν δὲ κατὰ ἀφαίρεσιν τοῦ ε, συγκοπῇ τῆς ει διφθόγγου· ὁ γοῦν Σιμωνίδης παρετυμολογεῖ· φησὶ γάρ·

ἑνὶ δ' οἴῳ εἶκε θεὰ μέγαν
ἀνεῖσα δίφρον.[1]

81

Ath. 9. 374 d [*π. ὀρνίθων*] *λέγεται* δὲ καὶ ἀλεκτορὶς καὶ ἀλέκτωρ· Σιμωνίδης·

Ἱμερόφων' ἀλέκτορ[2]

82

Sch. *Il.* 15. 625 [*κῦμα . . . ἀνεμοτρεφές*]· . . . καὶ Σιμωνίδης

ἀνεμοτρεφέων πυλάων

εἴρηκε.

83

Ibid. 24. 5 [*ὕπνος . . . πενδαμάτωρ*]· . . . παιδαμάτωρ δὲ ὁ μηδένα ἐῶν ἀδάμαστον· Σιμωνίδης δὲ

δαμασίφωτα

τὸν ὕπνον εἶπεν.

84

Choer. *Ep.* 1. 279 (Bek. *An.* 3. 1424)· *τριγλώχιν*· . . . *σπανίως γὰρ ηὕρηται ἐν χρήσει ἡ εἰς ν κατάληξις, ὡς παρὰ Σιμωνίδῃ·*

τριγλώχιν ὀϊστός

[1] *ἑνὶ δ' οἴῳ* ms ap. Reitz. *Gr. Etym.* p. 309, here *ἐν δὲ οἷον* *εἶκε E*: mss εικει *θεὰ B*: mss θεαὶ *ἀνεῖσα E*, cf. 5 : mss εἶς [2] mss also *ἡμεροφ.* : mss *ἀλέκτωρ*

80

Cramer *Inedita* (*Paris*) : *νίκη* 'victory' :— Apollonius son of Archibius says that it stands for *ὃ ἓν' εἴκει*, that is 'that which yields to one,' being formed by the dropping of the initial *ε* and syncope of the diphthong *ει*.[1] Simonides alludes to the etymology of it in the lines :

To one alone did the Goddess yield when she mounted the chariot.

81

Athenaeus *Doctors at Dinner* [on poultry] : The forms *ἀλεκτορίς* 'hen' and *ἀλέκτωρ* 'cock' also occur : compare Simonides :

Delightsome-voicèd chanticleer

82[2]

Scholiast on the *Iliad* ['a wave reared by the wind'] : Simonides speaks of

gates reared by the wind

83[3]

The Same ['all-subduing sleep'] : *πανδαμάτωρ* means 'that which leaves no man unsubdued' : Simonides calls sleep

man-subduing

84

Choeroboscus on Theodosius : *τριγλώχιν* 'three-barbed' . . . the form ending in *ν* rather than *ς*, as in Simonides

three-barbèd arrow

is rarely found.

[1] the etymology is hardly correct [2] cf. Eust. 1034. 2
[3] cf. Eust. 1336. 6

85

Sch. Theocr. 1. 65 [Θύρσις ὅδ' ἀξ Αἴτνας]· ἡ δὲ Αἴτνη Σικελίας ὄρος. . . . Σιμωνίδης δὲ Αἴτνην φησὶ κρῖναι Ἥφαιστον καὶ Δήμητραν περὶ τῆς χώρας ἐρίσαντας.

86, 87, 88

Plut. *Q. Conv.* 9. 15. 2 [τίνα κοινὰ ποιητικῆς καὶ ὀρχηστικῆς]· καὶ ὅλως ἔφη μεταθήσειν τὸ Σιμωνιδεῖον ἀπὸ τῆς ζωγραφίας ἐπὶ τὴν ὄρχησιν, τὴν γὰρ ὄρχησιν εἶναι ποίησιν [1] σιωπῶσαν, καὶ φθεγγομένην ὄρχησιν πάλιν τὴν ποίησιν . . . δόξειε δ' ἄν, ὥσπερ ἐν γραφικῇ, τὰ μὲν ποιήματα ταῖς χρώσεσιν ἐοικέναι τὰ δὲ ὀρχήματα ταῖς γραμμαῖς ὑφ' ὧν ὁρίζεται τὰ εἴδη. δηλοῖ δὲ ὁ μάλιστα κατωρθωκέναι δόξας ἐν ὑπορχήμασιν [2] καὶ γεγονέναι πιθανώτατος ἑαυτοῦ τὸ δεῖσθαι τὴν ἑτέραν τῆς ἑτέρας. τὸ γάρ·

Ἀπέλαστον ἵππον ἢ κύνα
Ἀμυκλαίαν ἀγωνίῳ [3]
ἐλελιζόμενος ποδὶ μίμεο καμπύλον μέλος διώκων·

ἢ τό· [4]

οἷα <δ'> ἀνὰ Δώτιον ἀνθεμόεν πεδίον [5]
πέταται θάνατον κεροέσσᾳ
εὗρέμεν κύων ἐλάφῳ·[6]
τὰν δ' ἐπ' αὐχένι στρέφοισαν ἐὸν κάρα [7]
πάντ' ἐπ' οἶμον [8]

καὶ τὰ ἐξῆς μόνον οὐ Διόθεν [9] τὴν ἐν ὀρχήσει διάθεσιν παρακαλεῖ, καὶ [10] τὼ χεῖρε καὶ τὼ πόδε μᾶλλον δ' ὅλον ὥσπερ μηρίνθοις ἕλκει [11] τὸ σῶμα τοῖς μέλεσι καὶ ἐντείνει, τούτων λεγομένων καὶ

[1] mss ποίησιν γὰρ εἶναι τὴν ὄρχ. [2] mss δόξειεν ὑπ' ὀρχ. [3] mss ἀγωνίων [4] mss also τὸν μὲν [5] mss οἷος ἀναδώτιον ἀνθεμόεντα παιδίον [6] Wytt., cf. Anacr. 52: mss κεράσασα εὑρέμεν μανύων ἐλ. [7] Wytt.-*E*: mss στρέφοιαν ἕτερον κ. perh. the line should end κὰρ πάντ' ἐπ' οἶμον [8] Schn: mss πάντα ἕτοιμον [9] *E*: mss λειόθεν [10] παρακ. καὶ Wil. Rein: mss τὰ ποίηματα καὶ παρακαλεῖν [11] Wil: mss ἕλκειι

85

Scholiast on Theocritus ['This is Thyrsis of Etna']: Etna is a mountain in Sicily . . . According to Simonides, Etna decided between Hephaestus and Demeter when they quarrelled over the possession of the country.

86, 87, 88 [1]

Plutarch *Dinner-Table Problems* [What features Poetry and Dancing have in common]: In short the saying of Simonides must be changed, he said, from painting to dancing, and we must say (not that painting but) that the dance is a silent poetry and poetry a speaking dance . . . And it would appear that, as if it were a matter of painting, the poems themselves are like the colours, and the dances to which they belong like the outlines which the colours fill. And the poet who is thought to have done his best and most expressive work in the Hyporcheme or Dance-Song proves that the two arts (of dancing and poetry) stand in need of one another; compare:

Come pursue the curving course of the tune, and imitate with foot a-whirl in the contest unapproachable horse or Amyclean hound;

or this:

And even as on the windy Dotian plain a hound doth fly to find death for a hornèd hind, and she turns the head upon her neck this, that, and every way

and the rest:—these passages may almost be said to call down the subject-matter of the dance from heaven above, and to pull and guide one's hands and feet, or rather one's whole body, with the puppet-strings of its music, the body being

[1] cf. Ath. 5. 181 b, Eust. 1166. 49: these three fragments are now generally ascribed to Pindar, prob. rightly: cf. Reinach, *Mél. Weil* p. 413

ᾀδομένων ἡσυχίαν ἄγειν μὴ δυνάμενον.[1] αὐτὸς γοῦν ἑαυτὸν οὐκ αἰσχύνεται περὶ τὴν ὄρχησιν οὐχ ἧττον ἢ τὴν ποίησιν ἐγκωμιάζων·

ὅταν δὲ γηρύσω νύον[2]
ἐλαφρὸν ὄρχημα εἶδα[3] ποδῶν μιγνύμεν·
Κρῆτά μιν[4] καλέουσι τρόπον τὸ δ' ὄργανον
Μολοσσόν.[5]

ΙΓ'

ΕΛΕΓΕΙΩΝ

89–90 <εἰς τὴν ἐν Μαραθῶνι μάχην>

Sch. Ar. *Pac.* 736 [εἰ δ' οὖν εἰκός τινα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος | κωμῳδοδιδάσκαλος ἀνθρώπων καὶ κλεινότατος γεγένηται | ἄξιος εἶναί φησ' εὐλογίας μεγάλης ὁ διδάσκαλος ἡμῶν]· παρὰ τὰ Σιμωνίδου ἐκ τῶν Ἐλεγείων·

εἰ δ' ἄρα τιμῆσαι, θύγατερ Διός, ὅστις ἄριστος,[6]
δῆμος Ἀθηναίων ἐξετέλεσσα μόνος.

90

Sch. Greg. Naz. *Or. in Jul.* 169 d[7] τὸ ἀναμάρτητον, φησίν, ὑπὲρ ἡμᾶς τοὺς ἀνθρώπους· τὸ δὲ μικρόν τι πταίσαντας ἐπανάγεσθαί τε καὶ διορθοῦσθαι ἀνθρώπων ἐστὶ καλῶν τε κἀγαθῶν. λέγει δὲ καὶ Σιμωνίδης—εἶς δ' οὗτος τῶν θ' λυρικῶν—ἐν ἐπιγράμματι ῥηθέντι αὐτῷ ἐπὶ τοῖς Μαραθῶνι πεσοῦσιν Ἀθηναίων τὸν στίχον τοῦτον·

Μηδὲν ἁμαρτεῖν ἐστὶ θεοῦ καὶ πάντα κατορθοῦν.

---

[1] Wil: mss τούτων δὲ and δυναμένοις [2] *E* mss γηρῶσαι νῦν [3] cf. 22. 2 ἄνδρα ἰδὼν [4] Cas: mss μέν, μὴν [5] these 4 words in Ath. only [6] perh. τιμήσεις *E*: otherwise supply εἰκὸς from an earlier clause [7] Kirchhoff, *Herm.* 6. 488

unable to keep still while they are being sung or said. At any rate he takes no shame to himself to praise his own dance any more than his own poetry; compare:

And when I shall sing the bride, I know well how to mingle the light dance of the feet. The style of it is called the Cretan, and the instrument of music is Molossian.

Book XIII

ELEGIACS

89–90[1] <On the Battle of Marathon>

Scholiast on Aristophanes ['Now if it is right, thou Daughter of Zeus,[2] to honour him that is the best and most famous author of comedy in the world, great praise is due, says our poet, to me']: This comes from Simonides' *Elegiacs*:

But if it is right, thou Daughter of Zeus,[2] to honour him that is best, it was none but the people of Athens, though I say it, that did this thing.

90

Scholiast on Gregory of Nazianzen: He means that whereas guiltlessness is superhuman, to repair a small error marks the good man and true. Simonides, one of the Nine Lyric Poets, in an epigram[3] he wrote on the Athenians who fell at Marathon has the following line:

To incur no guilt and accomplish all things is the mark of a God.[4]

---

[1] cf. *Vit. Aesch. Biog. Gr.* 119 'According to some authorities Aeschylus was defeated by Simonides in the *Elegy on Those who fell at Marathon*' [2] Truth [3] *or* inscription; see p. 351 n. [4] the ascription can hardly be correct, as the line occurs in the Chaeronea-epitaph Dem. *Crown* 288

91 εἰς τὴν ἐν Σαλαμῖνι ναυμαχίαν

Plut. *Themist.* 15 οἱ δ' ἄλλοι τοῖς βαρβάροις ἐξισούμενοι τὸ πλῆθος ἐν στένῳ κατὰ μέρος προσφερομένους καὶ περιπίπτοντας ἀλλήλοις ἐτρίψαντο

. . . . . μέχρι δείλης
ἀντισχόντας

ὡς εἴρηκε Σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην ἧς οὔθ' Ἕλλησιν οὔτε βαρβάροις ἐνάλιον ἔργον εἴργασται λαμπρότερον, ἀνδρείᾳ μὲν καὶ προθυμίᾳ τῶν ναυμαχησάντων, γνώμῃ δὲ καὶ δεινότητι Θεμιστοκλέους.

92 εἰς τὴν ἐν Πλαταίαις μάχην[1]

Plut. *Hdt. Mal.* 42 ἀλλὰ Κορινθίους γε καὶ τάξιν ἣν ἐμάχοντο τοῖς βαρβάροις, καὶ τέλος ἡλίκον ὑπῆρξεν αὐτοῖς ἀπὸ τοῦ Πλαταιᾶσιν ἀγῶνος, ἔξεστι Σιμωνίδου πυθέσθαι, γράφοντος ἐν τούτοις·

μέσσοι δ' οἵ τ' Ἐφύρην πολυπίδακα ναιετάοντες,
παντοίης ἀρετῆς ἴδριες ἐν πολέμῳ·
<καί·>[2]
οἵ τε πόλιν Γλαύκοιο, Κορίνθιον ἄστυ νέμοντες
τῶν <σφῶν>[3] κάλλιστον μάρτυν ἔθεντο πόνων
χρυσὸν τιμῶντες τὸν ἐν αἰθέρι·[4] καί σφιν ἀέξει
αὐτῶν τ' εὐρεῖαν κληδόνα καὶ πατέρων·
ξεινοδόκων γὰρ ἄριστος ὁ χρυσὸς ἐν αἰθέρι λάμπων,[5]
e.g.[6] ξεῖνος δ' ἦλθε κακὸς τοῖς χερὶ δεξαμένοις.

ταῦτα γὰρ οὐ χορὸν[7] ἐν Κορίνθῳ διδάσκων οὐδ' ἆσμα ποιῶν εἰς τὴν πόλιν, ἄλλως δὲ τὰς πράξεις ἐκείνας ἐλεγεῖα γράφων ἱστόρηκεν.

[1] Blass rightly takes as separate passages of one poem [2] *E* [3] *E*: mss οἱ [4] *E*: mss χρυσοῦ τιμήεντος κτλ. [5] *B* from Apoll. where ξεινοδ. is explained as μαρτύρων γὰρ *B*: mss δ' λάμπων *E.M*, *E.G*: Zon, Apoll. λαμπρός [6] *E*, *Camb. Phil. Soc. Proc.* 1922 [7] Herw: mss οὐχ οἷον

91[1] On the Sea-fight at Salamis

Plutarch *Themistocles*: The rest, their inferiority in numbers being compensated by the narrowness of the strait, which both prevented the Barbarians from using their whole force at once and caused their ships to fall foul of one another,

held out till fall of night

as Simonides says, and thus won a great and famous victory which outshone any deed of the sea whether Greek or Barbarian, alike in the fire and courage of the men and in the genius of their leader.

92[2] On the Battle of Plataea

Plutarch *The Malignity of Herodotus*: But of the Corinthians and their position in the battle, and what they gained from the conflict at Plataea, we may learn from Simonides, who writes:

Midmost stood the dwellers in Ephyra of the many fountains, men versed in every virtue of war:

and this:

And those that live in Corinth town, the city of Glaucus, made unto themselves a right noble witness of their deeds by honouring the gold that is in the sky;[3] and that gold doth increase and spread wide their fame and the fame of their fathers; for whereas gold is the kindest of all hosts when it shineth in the sky, [it comes an evil guest unto those that receive it in their hand].[4]

He has not said this in any work for which he trained a chorus at Corinth nor in any poem written in honour of that city, but has simply recorded their deeds in an elegiac poem.

[1] cf. Suid. Σιμωνίδης (above, p. 248) perh. corrupt, Sch. Ar *Vesp.* 1411, *Vit. Pind.* 98 West. [2] cf. Apoll. *Lex. Hom.* 116. 25, *E.M.* 610. 46, *E.G.* 414. 35, Zon. 1415 [3] the sun
[4] they had refused the Persian bribes, cf. 117. 2

93

Amm. Marc. 14. 6. 7 sed laeditur hic coetuum magnificus splendor levitate paucorum incondita, ubi nati sint non reputantium, sed tanquam indulta licentia vitiis ad errores lapsorum ac lasciviam. ut enim Simonides lyricus docet, beate perfecta ratione victuro ante alia patriam esse convenit gloriosam.

e. g.[1] τῷ γὰρ παντελέως εὐδαίμονι βουλομένῳ ζῆν
| πάντων δεῖ μᾶλλον πατρίδος εὐκλεέος.

94

Claudian. *Ep.* 4. 9 [ad Probinum]: 'Fors iuvat audentes, Cei sententia vatis; | hac duce non dubitem te reticente sequi.

e. g.[1] . . . . . τυχὰ τολμῶσιν ἀρήγει.

95

Plut. *An Seni* 1 τὸ γάρ

. . . . . πόλις ἄνδρα διδάσκει

κατὰ Σιμωνίδην ἀληθές ἐστιν ἐπὶ τῶν ἔτι χρόνον ἐχόντων μεταδιδαχθῆναι καὶ μεταμαθεῖν μάθημα.

96

Cram. *A.P.* 1. 166. 11 ἀλλ' ἄκουσον τὸ τοῦ Κρωβύλου. Ἀθηναῖος ἦν, τοῖς δὲ πολίταις ποτὲ τοῖς αὐτοῦ συνεβούλευε μὴ προσέχειν τῷ Μακεδόνι Φιλίππῳ προϊσχομένῳ τὰ εἰρηνικά. '. . . εἴ γε βούλεσθε μὴ ληρεῖν ἀλλὰ τοὺς Ἕλληνας ἐλευθερῶσαι καὶ κτήσασθαι πάλιν αὖ τὴν πατρῴαν ἡγεμονίαν

. . . . . ἀπροφασίστως
δουλεύοντα . . . . . .

κατὰ τὸν Σιμωνίδην· οὐδὲν γάρ που μέγα μικρῷ θεραπεύεται.'

[1] *E, Camb. Phil. Soc. Proc.* 1922

93

Ammianus Marcellinus *History*: But the magnificence of these assemblies is spoilt by the uncouth irresponsibility of a few who forget their station in life, and through being allowed licence slip into licentiousness. As the lyrist Simonides says:

For he that would live completely happy must before all things belong to a country that is of fair report.

94[1]

Claudian *Letters* [to Probinus]:

Fortune helps the brave

is the maxim of the poet of Ceos; and whither it leads, though you were silent, I should not hesitate to go.

95

Plutarch *Should Old Men Govern?*: Simonides' dictum

The city is the teacher of the man

applies to those who have still time to be taught better and mend their ways.

96

Cramer *Inedita* (*Paris*): Pray listen to what Crobylus said. He was an Athenian who advised his fellow-countrymen to turn a deaf ear to Philip of Macedon's proposals for peace. '. . . if, that is, you will cease vain talk, if you will free Greece and regain your traditional hegemony, both of which are now, in the words of Simonides,

in bondage inexcusable.

For there's no healing great things with little.'

[1] cf. Verg. *Aen.* 10. 284 (*audentes fortuna iuvat*), Enn. ap. Macr. 6. 1 (*fortibus est fortuna viris data*)

97

Stob. *Fl.* 98. 29 [*π. τοῦ βίου, ὅτι βραχὺς καὶ εὐτελὴς καὶ φροντίδων ἀνάμεστος*]· Σιμωνίδου·

ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
'Οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.'
παῦροι μὴν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο· πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
ἀνδρῶν ἥτε νέων στήθεσιν ἐμφύεται,
θνητῶν δ' ὅφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ·
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν οὔτε θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ φροντίδ' ἔχει καμάτου.
νήπιοι, οἷς ταύτη κεῖται νόος, οὐδὲ ἴσασιν
ὡς χρόνος ἐσθ' ἥβης καὶ βιότοι' ὀλίγος
θνητοῖς· ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

98

Plut. *Cons. Apoll.* 17 *τὰ γὰρ χίλια καὶ τὰ μύρια κατὰ Σιμωνίδην ἔτη στιγμή τις ἐστὶν ἀόριστος μᾶλλον δὲ μόριόν τι βραχύτατον στιγμῆς.*

e g.[1] χίλια γὰρ καὶ μύρι' ἔτη στιγμή 'στιν ἄϊστος[2]
μᾶλλον δὲ στιγμῆς μικρότατον μόριον.

[1] *E, Camb. Phil. Soc. Proc.* 1922

[2] or 'στ' ἀίδηλος corrupted because misread ἀεὶ δῆλος?

97

Stobaeus *Anthology* [That Life is short, of little account and full of care]: Simonides:[1]

But there's one saying of the man of Chios[2] which passes all, 'The life of man is even as the life of a green leaf'; yet few that receive it with the ear lay it away in the breast; for there's a hope which springeth in every heart that is young, and so long as man possesseth the flowery bloom of youth there is much that his light heart deems to have no end, counting neither on age nor death, and taking no thought for sickness in time of health. Poor fools they to think so, and not to know that the time of youth and life is but short for such as be mortal! Wherefore be thou wise in time, and fail not when the end is near to give thy soul freely of the best.

98

Plutarch *Letter of Consolation to Apollonius*: For as Simonides says:

A thousand, aye, ten thousand years are but a point one cannot see, nay the smallest part of a point.

[1] Wil. ascribes to Semonides of Amorgus [2] Homer: cf. Plut. *Vit. Hom.* 283 Gale, *Vit. Hom.* Westerm. 28, Cram. *A. P.* 3. 98. 13

99

Plut. *Is. et Os.* 23 *ὀκνῶ δέ, μὴ τοῦτο ᾖ τὰ ἀκίνητα κινεῖν καὶ πολεμεῖν τῷ*[1] *πολλῷ χρόνῳ, κατὰ Σιμωνίδην, μόνον, πολλοῖς δ' ἀνθρώπων ἔθνεσιν καὶ γένεσιν κατόχοις ὑπὸ τῆς πρὸς τοὺς θεοὺς τούτους ὁσιότητος.*

c. g.[2] *κίνεον τἀκίνητα χρόνῳ πολλῷ πολεμοῦντες*
πολλοῖς τ' ἀνθρώπων ἔθνεσι καὶ γένεσιν.

100

Stob. *Ecl.* 1. 28 [*ὅτι θεὸς δημιουργὸς τῶν ὄντων καὶ διέπει τὸ ὅλον τῷ τῆς προνοίας λόγῳ, καὶ ποίας οὐσίας ὑπάρχει*]· *Σιμωνίδης·*

Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει.

101

Ath. 10. 447 a [*π. τοῦ πίνω*]· *σὺ δὲ πιὼν μὴ φοβηθῇς ὡς εἰς τοὐπίσω μέλλων καταπεσεῖσθαι· τοῦτο γὰρ παθεῖν οὐ δύνανται οἱ τὸν κατὰ Σιμωνίδην πίνοντες*

. . . . . *οἶνον ἀμύντορα δυσφροσυνάων*

102

Ibid. 1. 32 b [*π. οἴνων*]

οὐδὲν ἀπόβλητον Διονύσιον, οὐδὲ γίγαρτον·[3]

ὁ Κεῖός φησι ποιητής.

103

Ibid. 11. 498 e [*π. σκύφου*]· *Σιμωνίδης δὲ οὐατόεντα σκύφον ἔφη.*

e. g. *σκύφον οὐατόεντα*

[1] mss *ἐν τῷ, οὐ τῷ* [2] *E, Camb. Phil. Soc. Proc.* 192
[3] *οὐδὲν*: mss *οὐδὲ γὰρ*: the lines before *οὐδὲ* (*ἦν ἄρ' ἔπος τόδ'*

99 [1]

Plutarch *Isis and Osiris*: I hesitate, lest this be merely, in Simonides' words, to

move what should be left alone, warring against long lapse of time and many tribes and sorts of men who are inspired with the piety they feel towards these Gods.

100

Stobaeus *Selections* [That God is the Creator of existing things, and orders all by the word of providence, and what he really is]: Simonides:

Great Zeus alone hath the medicines for all ills.

101

Athenaeus *Doctors at Dinner* [on the word 'to drink']: But my friend, when you have drunk you need not be afraid that the manner of your falling will be backward; for this can never happen to such as drink what Simonides calls

wine the defender against care

102

The Same [on wines]: For in the words of the poet of Ceos:

Nothing that belongeth to Bacchus should be thrown away, nay, not a grapestone.

103 [2]

The Same [on the cup called *σκύφος*]: Simonides speaks of the

earèd cup

[1] cf. Plut. *Vit. Thes.* 10, Arist. *Pol.* 2. 1264 a 1 [2] cf. Eust. 870. 6, 1775. 19, Fav. 332

ἀληθές, ὅτ' οὐ μόνον ὕδατος αἶσαν | ἀλλά τι καὶ χλεύης οἶνος ἔχειν ἐθέλει) Schw. rightly ascribes to another author

104

E.M. 38. 46

εἰριπόνοι δμωαί

Σιμωνίδης ἐκ τοῦ ἐριοπόνοι[1] συγκοπῇ τοῦ ο· οὕτως Ἡρωδιανὸς Περὶ Παθῶν.

105

Ibid. 60. 36 Ἀλέρα καὶ Ἐλάρα·

Ἐλάρας γενεά

οὕτως παρὰ Σιμωνίδῃ.

106

E.G. 645. 43

φύξιμος ὀδμή

ἡ φυγεῖν ἐμποιοῦσα· Σιμωνίδης ὁ Κεῖος.[2]

107

E.M. Vet. 28 ἀμιθρῆσαι· Σιμωνίδης τὸν ἀριθμὸν ἀμιθρὸν εἶπε καθ' ὑπερβιβασμὸν οἷον

κύματ' ἀμιθρεῖν[3]

108

Ath. 3. 125 c [π. τοῦ χιόνος πίνειν κατὰ Σιμωνίδην]· Καλλίστρατος ἐν ζ' Συμμίκτων φησὶν ὡς ἑστιώμενος παρά τισι Σιμωνίδης ὁ ποιητὴς 'κραταιοῦ καύματος ὥρᾳ' καὶ τῶν οἰνοχοῶν τοῖς ἄλλοις μισγόντων εἰς τὸ πότον χιόνος αὐτῷ δὲ οὔ, ἀπεσχεδίασε τόδε τὸ ἐπίγραμμα·

Τῇ ῥά ποτ' Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὀξὺς ἀπὸ Θρῄκης ὀρνύμενος Βορέης,[4]

[1] *E*: mss αἰριπόλιοι and αἰριοπόλιοι (ΛΙ for Ν) [2] mss ὁ Τήϊος ἀπὸ τῆς Τέω [3] *E*, cf. Theocr. 16. 60 (a proverbial impossibility, like counting the stars): mss κ. ἄμιθρον from above: ἀμιθρῆσαι comes from 154 [4] τῇ Cas: mss τὴν ὀξὺς Valck: mss ὠκὺς

104

Etymologicum Magnum: εἰριπόνοι δμωαί:

bondwomen that work the wool

Simonides, from ἐριοπόνοι with loss of *o*; so Herodian *Inflexions.*

105

The Same: Alera and Elara:—compare Simonides:

the offspring of Elara[1]

106

Etymologicum Gudianum: φύξιμος ὀδμή:

a loathsome stench,

literally 'one that makes to flee'; Simonides of Ceos.

107[2]

Old Etymologicum Magnum: ἀμιθρῆσαι 'to count':—Simonides says ἀμιθρός for ἀριθμός 'number' by transposition; compare

to number the waves

108

Athenaeus *Doctors at Dinner* [on drinking snow like Simonides]: Callistratus in the 7th Book of his *Miscellanies* relates that once when the poet Simonides was dining out 'in the season of mighty heat,' the wine-bearers in mixing snow with the wine for the guests forgot to do so with his, whereupon he improvised the following lines:

Of that with which keen Boreas hies him from Thrace to wrap the sides of Olympus and gnaw the

[1] Tityus: cf. *E.M. Vet.* 22 (παρὰ Σ. ἡ Ἐλάρα, Ἀλέρα δὲ παρὰ Πινδάρῳ, οἷον 'Ἀλέρας υἱόν') [2] cf. *E.M.* 83. 43, and *fr.* 154

ἀνδρῶν δ' ἀχλαίνων ἔδακε φρένας, αὐτὰρ ἐθάφθη
ζωὴ Πιερίην γῆν ἐπιεσσαμένη,[1]
ἔν τις ἐμοὶ καὶ τῆς χεέτω μέρος· οὐ γὰρ ἔοικεν
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

109

A.P. 6. 216 ἀνάθημα τῷ Διὶ παρὰ Σώσου καὶ Σωσοῦς· Σιμωνίδου·

Σῶσος καὶ Σωσώ, Σῶτερ, σοὶ[2] τόνδ' ἀνέθηκαν,
Σῶσος μὲν σωθείς, Σωσὼ δ' ὅτι Σῶσος ἐσώθη.

110

Ath. 10. 415f [π. τῶν πολυφάγων καὶ πολυποτῶν]· καὶ Τιμοκρέων δ' ὁ Ῥόδιος ποιητὴς καὶ ἀθλητὴς πένταθλος ἄδην ἔφαγε καὶ ἔπιεν, ὡς τὸ ἐπὶ τοῦ τάφου αὐτοῦ ἐπίγραμμα δηλοῖ·

Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ' εἰπὼν
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

111

A.P. 13. 30 Σιμωνίδου· ἑξάμετρος καὶ αὐτὸς ὡς τροχαϊκὸς τετράμετρος κατὰ μετάθεσιν τῶν λέξεων·[3]

Μοῦσά μοι Ἀλκμήνης καλλισφύρου υἱὸν ἄειδε·
υἱὸν Ἀλκμήνης ἄειδε Μοῦσά μοι καλλισφύρου.

[1] ἐθάφθη Pors : mss ἐκάμφθη [2] *B* : mss σωτῆρι [3] ms καὶ οὗτος τροχ. and τῆς λέξεως

[1] the making of such riddles was an after-dinner game [2] doubtless a mock-dedication; the fun lies in the repetition of the syllable *so* which comes 10 times in 27 syllables; the names are masc. and fem. diminutives of *e.g.* Sosibius [3] lit. 'Here lie I, T. of Rhodes, having drunken much, eaten much, and slandered much'; a mock epitaph; cf. *A.P.* 7. 348,

hearts of men who have no cloaks, that which thereafter is buried alive in a shroud of Pierian clay, of that let them fill me my share ; for 'tis ill bringing to a friend a bumper that is hot.[1]

109

Palatine Anthology : A dedication to Zeus by Sosus and Soso ; by Simonides :

Take, Saviour, this from Sosus and Soso,
For saving Sosus' life and Soso woe.[2]

110

Athenaeus *Doctors at Dinner* [on heavy eaters and drinkers] : And Timocreon the poet and champion athlete of Rhodes ate and drank his fill, witness his epitaph :

Your guttling o'er, your tippling done,
You're lying still, Timocreon.[3]

111

Palatine Anthology : Simonides ; an hexameter and the same arranged as a trochaic tetrameter by transposition of the words :

Sing me a song, blest Muse, of the fair-foot Midean's offspring ;
Sing me of the fair-foot Midean's offspring, blessèd Muse, a song.[4]

where it bears this quaint lemma : 'Simonides on T. of R. whose inclinations and habits were exactly those of my uncle' [4] Alcmena's son Heracles ; the first line is prob. a quotation from the opening of a poem by Timocreon of Rhodes, and the whole a skit ; cf. Timocr. 10

112

Ath. 14. 656 c *περὶ δὲ λαγῶν Χαμαιλέων φησὶν ἐν τῷ* Περὶ *Σιμωνίδου ὡς δειπνῶν παρὰ τῷ 'Ιέρωνι ὁ Σιμωνίδης, οὐ παρατεθέντος αὐτῷ ἐπὶ τὴν τράπεζαν καθάπερ καὶ τοῖς ἄλλοις λαγφοῦ ἀλλ' ὕστερον μεταδιδόντος τοῦ 'Ιέρωνος, ἀπεσχεδίασεν·*

Οὐδὲ γὰρ <οὐδ'> εὐρύς περ ἐὼν ἐξίκετο δεῦρο.[1]

113, 114

Ibid. 10. 456 c *γριφώδη δ' ἐστὶ καὶ Σιμωνίδη ταῦτα πεποιημένα ὥς φησι Χαμαιλέων ὁ 'Ηρακλεώτης ἐν τῷ* Περὶ Σιμωνίδου·

Μιξονόμου τε πατὴρ ἐρίφου καὶ σχέτλιος ἰχθὺς
πλησίον ἠρείσαντο καρήατα· παῖδα δὲ νυκτὸς
δεξάμενοι βλεφάροισι Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

φασὶ δὲ οἱ μὲν . . . οἱ δέ φασιν ἐν 'Ιουλίδι τὸν τῷ Διονύσῳ θυόμενον βοῦν ὑπό τινος τῶν νεανίσκων παίεσθαι πελέκει. πλησίον δὲ τῆς ἑορτῆς οὔσης εἰς χαλκεῖον δοθῆναι τὸν πέλεκυν· τὸν οὖν Σιμωνίδην ἔτι νέον ὄντα βαδίσαι πρὸς τὸν χαλκέα κομιούμενον αὐτόν. ἰδόντα δὲ καὶ τὸν τεχνίτην κοιμώμενον καὶ τὸν ἀσκὸν καὶ τὸν καρκίνον εἰκῇ κείμενον καὶ ἐπαλλήλως ἔχοντα τὰ ἔμπροσθεν, οὕτως ἐλθόντα εἰπεῖν πρὸς τοὺς συνήθεις τὸ προειρημένον πρόβλημα. τὸν μὲν γὰρ τοῦ ἐρίφου πατέρα τὸν ἀσκὸν εἶναι, σχέτλιον δὲ ἰχθὺν τὸν καρκίνον, νυκτὸς δὲ παῖδα τὸν ὕπνον, βουφόνον δὲ καὶ Διονύσου θεράποντα τὸν πελέκυν. πεποίηκε δὲ καὶ ἕτερον ἐπίγραμμα ὁ Σιμωνίδης, ὃ παρέχει τοῖς ἀπείροις τῆς ἱστορίας ἀπορίαν·

Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον
τῷ Πανοπηϊάδῃ δώσειν μέγα δεῖπνον Ἐπείῳ.

[1] *οὐδ'* suppl. Musurus, cf. Il. 14. 33 *οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας | αἰγιαλὸς νῆας χαδέειν*

---

[1] Homer says 'Wide though it was, the beach could not

112

Athenaeus *Doctors at Dinner*: With regard to hares Chamaeleon relates in his book *On Simonides* that when supping once with Hiero, the poet was left out when the jugged hare was served to the guests, whereupon as Hiero was sending him some, he improvised the following parody:[1]

Wide though it was, it could not reach to me.

113, 114

The Same: Verses of the nature of riddles were composed also by Simonides, if we may believe Chamaeleon of Heraclea in his book on that poet; let me quote these:

The father of the wayward kid,
The child of eve upon each lid,
With the fell fish lies jowl by cheek;
And so my quest is still to seek.
For they refuse their aid to lend
Lord Bacchus' butcher-knight to mend.

Some explain it thus . . . Others say it was the custom at Iulis that the ox to be sacrificed to Dionysus should be killed with an axe by a boy. The festival being near, the axe had been sent to be repaired, and Simonides, who was then a lad, was sent off to the blacksmith's to fetch it. Finding the man asleep and his bellows and tongs lying on the ground end to end, he returned to his companions and put to them the above conundrum. For the 'father of the kid' is the bellows, the 'fell fish' the 'crab' or tongs, 'the child of eve' sleep, and 'Bacchus' butcher-knight' the axe. There is another piece by Simonides which puzzles readers who do not know the story:

Who would not be of cricket's prize the winner,
To son of Panopeus shall carry dinner.[2]

contain all the ships' [2] cf. Sch. *Il.* 23. 665, Eust. 1323. 60, 1606. 60, *Rh. Gr.* Walz 6. 200, 7. 949

λεγεται δὲ ἐν τῇ Καρθαίᾳ διατρίβοντα αὐτὸν διδάσκειν τοὺς χορούς· εἶναι δὲ τὸ χορηγεῖον ἄνω πρὸς Ἀπόλλωνος ἱερῷ μακρὰν τῆς θαλάσσης· ὑδρεύεσθαι οὖν καὶ τοὺς ἄλλους καὶ τοὺς περὶ Σιμωνίδην κάτωθεν, ἔνθα ἦν ἡ κρήνη. ἀνακομίζοντος δ' αὐτοῖς τὸ ὕδωρ ὄνου, ὃν ἐκάλουν Ἔπειὸν διὰ τὸ μυθολογεῖσθαι τοῦτο δρᾶν ἐκεῖνον καὶ ἀναγεγράφθαι ἐν τῷ τοῦ Ἀπόλλωνος ἱερῷ τὸν Τρωϊκὸν μῦθον, ἐν ᾧ ὁ Ἔπειὸς ὑδροφορεῖ τοῖς Ἀτρείδαις . . . ὑπαρχόντων οὖν τούτων ταχθῆναί φασι τῷ μὴ παραγιγνομένῳ τῶν χορευτῶν εἰς τὴν ὡρισμένην ὥραν παρέχειν τῷ ὄνῳ χοίνικα κριθῶν. τοῦτ' οὖν κἂν τῷ ποιήματι λέγεσθαι, καὶ εἶναι τὸν μὲν οὐ φέροντα τὸ τοῦ τέττιγος ἄεθλον τὸν οὐκ ἐθέλοντα ᾄδειν,[1] Πανοπηϊάδην δὲ τὸν ὄνον, μέγα δὲ δεῖπνον τὴν χοίνικα τῶν κριθῶν.

115

Plut. *Colib. Ira* 6 καὶ ὁ Μαρσύας ὡς ἔοικε φορβείᾳ τινὶ καὶ περιστομίοις βίᾳ τοῦ πνεύματος τὸ ῥαγδαῖον ἐγκαθεῖρξε, καὶ τοῦ προσώπου κατεκόσμησε καὶ ἀπέκρυψε τὴν ἀνωμαλίαν·

χρυσῷ δ' αἰγλήεντι συνήρμοσεν[2] ἀμφιδασείας
κόρσας καὶ στόμα λαβρὸν ὀπισθοδέτοισιν ἱμᾶσιν.

ἡ δ' ὀργὴ φυσῶσα καὶ διατείνουσα τὸ πρόσωπον ἀπρεπῶς, ἔτι μᾶλλον αἰσχρὰν ἀφίησι καὶ ἀτερπῆ φωνήν.

[1] perh. *μανθάνειν ἄδειν E* [2] Tzetz. *προσήρμ.*

---

[1] in Ceos ; cf. for the festival Nicand. ap. Anton. Lib. 1
[2] the cricket being popularly supposed to be the champion singer, the chorister who lost instruction by coming late

Now it is said that the poet used to stay at Carthaea [1] while training the choruses there, and the training-school being high up by the temple of Apollo and far from the sea, all the chorus-men, including the pupils of Simonides, fetched their water from the spring in the lower part of the town. This they did by means of a jackass which they called Epeius after the Epeius who carries water for the Atreidae in the Trojan story, a story which was depicted on the walls of the temple of Apollo near which they were training. . . . Now it was arranged that any chorister who came late should provide the jackass with a quart of barley. This is what is referred to in the verses ; he who would not be winner of the cricket's prize means he who would not [learn to] sing,[2] the son of Panopeus means the jackass, and the dinner the quart of barley.

115 [3]

Plutarch *On Restraining Anger* : It seems that Marsyas perforce curbed the violence of his breath by a mouthpiece and cheekbands and thus prevented the ugly puffing-out of his face :

> And he joined the fringed sides of his head with day-bright gold, and fitted his wanton mouth with backward-bounden thongs ; [4]

whereas anger, through its unseemly puffing and stretching of the face, makes the voice even more ugly and unpleasant than it would otherwise be.

could be said to be unwilling to learn to beat the cricket [3] cf. Tzet. *Chil.* 1. 372 (*τὴν δ' ἔριν ταύτην πού φησιν ᾄσματι Σιμωνίδης*), but the ascription is doubtful [4] *i. e.* when playing the flute

ΙΔ'

ΕΠΙΓΡΑΜΜΑΤΩΝ

α' Ἐπικήδεια

116

Anth. Plan. 26 Σιμωνίδου·

Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί, σῆμα δ' ἐφ' ἡμῖν
ἔγγυθεν Εὐρίπου δημοσίᾳ κέχυται
οὐκ ἀδίκως· ἐράτην γὰρ ἀπωλέσαμεν νεότητα
τρηχεῖαν πολέμου δεξάμενοι νεφέλην.[1]

117

Lycurg. *Leocr.* 109 τοιγαροῦν ἐπὶ τοῖς ἠρίοις[2] μαρτύρια ἔστιν ἰδεῖν τῆς ἀρετῆς αὐτῶν ἀναγεγραμμένα ἀληθῆ πρὸς ἅπαντας τοὺς Ἕλληνας, ἐκείνοις μὲν (τοῖς Λακεδαιμονίοις)· (119)· τοῖς δ' ὑμετέροις προγόνοις·

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.[3]

[1] cf. *Il.* 17. 243 [2] Wurm: mss ὁρίοις τοῦ βίου [3] Aristid. ἔκτειναν (*B* ἔκλιναν) Μήδων ἐννέα μυριάδας: cf. Aristid. Sch. 289 Frommel, where εἴκοσι μυρ.

---

[1] This Book and XIII were perh. really one (cf. 89, 165, 199); some of the poems, even where no warning is given in the notes, may be by other hands, for the tendency of an ancient collector would be to ascribe any good contemporary

Book XIV

INSCRIPTIONS [1]

1 Epitaphs

116

Planudean Anthology: Simonides:

We were slain in a glen of Dirphys, and the mound of our grave is made beside Euripus at our country's charge, and rightly so; for by abiding the onset of the cruel cloud of war we lost our lovely time of youth.[2]

117 [3]

Lycurgus *Speech against Leocrates*: Thus we may see unimpeachable testimony to their valour engraven upon their tombs for all Greece to read, to the Spartans this: (119); and to your own ancestors this:

At Marathon the Athenians fought for Greece and scattered the might of the Mede and all his gold.

inscription to S.; others may be imitations belonging to a later time; some, on the other hand, may well derive from the author's own collected edition; as I think it better to give too many than too few, I print all that appear in Bergk pp. 408–504 [2] cloud: the thick of the fight, ref. to operations against Chalcis 506 (?) [3] cf. Aristid. 2. 511, where l. 2 runs 'and put to flight ninety thousand Medes'

118, 119, 120

Hdt. 7. 228 [*π. τῆς ἐν Θερμοπύλαις μάχης*]· *θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ τῇπερ ἔπεσον καὶ τοῖσι πρότερον τελευτήσασι ἢ τοὺς ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἴχεσθαι ἐπιγέγραπται γράμματα λέγοντα τάδε·*[1]

Μυριάσιν ποτὲ τῇδε τριακοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.[2]

ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται· τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ·[1]

Ὦ ξεῖν' ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.[3]

Λακεδαιμονίοισι μὲν δὴ τοῦτο· τῷ δὲ μάντι τόδε·[1]

Μυᾶμα τόδε κλεινοιο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς ποτε κῆρας ἐπερχόμενας σάφα εἰδὼς
οὐκ ἔτλα Σπάρτας ἀγεμόνας προλιπεῖν.[4]

ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτυόνες *εἰσί σφεας οἱ ἐπικοσμήσαντες, τὸ δὲ τοῦ μάντιος* Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεός *ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας.*

[1] the stones doubtless had τειδε, ξενε (so Diod.) for ξένϜε, αγγελλεν, προλιπεν, which have either been read 'Ionically' by H. or Ionicised by his transcribers (I have restored α in μνᾶμα κτλ. because mss give Πελοποννασου [2] τριακοσίαις : Diod. διακ. [3] Diod., Lyc., *A.P.*, Ars. ἄγγειλον, Str. ἀπάγγειλον ῥήμασι πείθ. : Lyc., Str., Diod., Ars. (Cic.), πείθ. νομίμοις [4] κλείνοιο : mss also κλειτοῖο

118, 119, 120 [1]

Herodotus *Histories* [on the Battle of Thermopylae]: They were buried where they fell, and with them the men who died before the withdrawal of those whom Leonidas sent to the rear; and the following inscriptions stand over their graves:

Here four thousand of the Peloponnese once fought with three thousand thousand.

Such is the epitaph of the whole force; of the Spartans in particular this:

Stranger, go tell the Lacedaemonians that we lie here in obedience to their word.

And of the seer this:

This is the tomb of the famous Megistias, slain by the Medes beside the river Spercheius, the seer who well-knowing that his doom was nigh, would not forsake the leaders of Sparta.

